IN LIBELLO HOC, INSUNT. PRESBEUTIKOS ARISTEIDOU. ANTIRRHL·TICOS...

Aristides retore (retore), Joachim Camerarius, Libanius

Digitized by Google

6
10-c
27

BIBLIOTECA NAZIONALE VITTORIO EMANUELE
6
9 F
40

x Bibliotheca
jori Coll. Rom.
Societ. Jesu

6-11-C-97
6-10-C-27

Collegii Romani Societatis Jesu catalogo inscriptus
lib. [illegible]

IN LIBELLO HOC, INSVNT.

Πρεσβευτικὸς Ἀριστείδου.
Ἀντιρρητικὸς Λιβανίου.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Hoc eſt. Quid dici amplius ab Vlyſſe legato ad Achillem, & reſpõderi ab hoc potuerit. Vtraq; oratio cõuerſa in Latinũ a Ioach. Camerario. Eiuſdẽ & paraphraſis græca, Homerici utriuſq; loci addita eſt.

Habent ſtudioſi artium egregium exemplum ſcholaſticũ, cuius, ut opinor, ſimile non uiderunt.

HAGAN. AN. XXXV.

POMPEIANAMAB

P OM ÆRRACREILVS S QV.

Ludouico Carino humaniſsimo do-
ctiſsimoq; Iuueni S. D.

BIBLIOTEC. ROMA VITTORIO EMANUEL

INcredibili me uoluptate affecit aduentus nuper tuus Carine, eoq; maiore quo minus expectatus ille ſperatusue, quaſi inquinauerat hāc opinione ſua. Itaque tum, & ſi facies & uox tua plane ſignificabat qui eſſes, tamē nomen idq; infixum pectori noſtro ſtatim non ſucurrebat nobis ſcilicet retentū maximo gaudio. Sed mihi ille multo etiam gratior multoq; delectabilior extitit, poſteaq; cognoui de ſermōib. tuis,

adeſſe te in cognitatem L. imperij Iuuenis generis quidem claritate præſtantiſſimi, ſed uirtute longe etiam præſtantioris. Etſi enim iu cundiſſimo ſemper motu tangit animum meū cognitio litterariæ culturæ, quā perſequantˀ ij quos fortuna reliquis excellere uoluit, quod illorū uita in utranq; partē ꝓpter eminentiā plurimū momē ti habeat, moueatq; in primis ſtu dia & uoluntates uulgi, tamē hu ius Iuuenis hac in parte fœlicitas pene immodica me lætícia perfu dit. Venit enim in mentem genti lis ipſius laudatiſſ. Principis Pa bebergenſis, qui qualem uitam egerit ex omnium ordinum que relis de morte eius intelligi pōt, neq; enim quiſq; eſt uirtutis bo narumq; artiū amans, qui poſt

tam lon

tam longum tempus deplorare il lam deſierit: ac mihi quidem, ut a lia taceam, ſatis eſt argumenti & familia & gentili ſuo dignam hūc Iuuenem mentem gerere, quod te aſſumpſerit aſciueritque ſibi, qua de re & ob amorem familiæ illius, & curam patriæ meæ, exul tat animus meus gratulatione & ſpe, quarum altera debetur Cla riſſimi Iuuenis generi, cuius pro pinqui de patria noſtra publice nobisq; priuatim optime meriti ſunt, altera cupidiſſime a nobis fouetur deſyderio eruditionis & uirtutis, quā exortam florentem q; cum ubiq; gentium tum apud nos maxime cernere geſtio. Sed redeo ad te mi ſuauiſſ. Carine, ac quo nam munere quaue gratifica tione excipiam te aduenientem

quæro, quem & humanitatis ipſius & noſtrorum hominum morem eſſe ſcimus. Diuites quidem & qui beati uulgo putantur, aurum, argentum, æs donant: alij epulis exquiſitis amicos excipiũt, uina mittunt, conuiuia inſtruũt. Sed nõ hæc mihi uis, nõ tibi taliũ Res eſt aut animus delitiarũ egẽs.

Vtinã reliqua quoq; meo iure ſubtexere, atque ita ut tu certe gaudes carminibus, carmina poſſemus donare tibi. Verum hac in parte et ipſe ſentio q̃ ſint exiguę ac potius nullæ facultates meæ, & non grauatim concedo alijs hanc laudẽ famãq; ſtudiorũ: nõ tamẽ ita me infeliciter impendiſſe labores & uigilias a puero meas confido, ut nullus mihi ĩ officina Muſarum locus eſſe debeat. Qua aũt

re te doctiſſimum Iuuenem dele/
ctatum uehementius iri exiſtimē
quā literatis muneribus? Excuſſi
igit̃ nidulos muſæi noſtri, & offe
rētes ſe nobis quaſdā opellas per
quidem tenues illas, ſed tamē nō
omnino, præſertim hoc tempore
contemnendas, inſtitutas dudū
nunc abſolui, & tibi pro munere
amiciciæ ac hoſpitij miſi: dicerem
& clariſſ. Iuueni Limpergio, nō
enim dubito quin libenter et hæc
a nobis ſuſcepturus, & ſtudium
noſtrum admiſſurus fuerit, niſi il
lius excellētię maius & ſublimius
opus a nobis elaboraretur. Sed
quod aiebā hoc maxime tempore
non cōtemnenda mihi hæc uiſa,
eiuſmodi eſt, ut quamuis bene al
teq; creuerint eruditionis quaſi
germina, tamen ut fructum con/

uenientem etiam ferant, accurata cultura, & fortaſſe nondum multum uulgoq; uſitata opus eſſe iudico. Animaduerto enim cum opt. res cecidit, adoleſcentiam e ſtudijs litterarum, & artium, euadere bellulam ac uenuſtam, quaſiq; ut ita dicam uernantem: conſtantiæ q̄dē et firmitatis in paucis ſigna notare potui. Nulla aūt eſt melior rectiorq; cultura q̄ exēplorū et exercitij uerarū pręceptionū et doctrinę ueteris: in quo genere poni iure hæc noſtra debere arbitror, non quatenus a me ſunt tanquam propagata, parui enim & ipſe mea pendo, neq; tā per ſe q̄ imitationis gratia ſpectari uelim, ſed quod horū eſt ex antiquis ſophiſtarū ſcholis, e quib. magnā utilitatem ſtudioſos litterarum,

ſi ut di

ſi ut diligenter ita neutiq; temere illas frequentarint, percepturos eſſe affirmare auſim. Hæc mihi ſunt miſſa quondam ab amico & neceſſario noſtro doctiſſimo uiro Vincentio Opſopœo, qui deſcripſiſſet e peruetuſto codice D. Chriſtophori Piſtorij pædagogi principalis in aula Marchionis uicini ciuitatis noſtræ: quorũ utrique, ſi quib. horum lectio fructũ delectationemue attulerit, gratiã habere debebunt. Sane orauerã Vincentium ſaltẽ πρεσβευτικὸν ut conuertere in linguam Latinam uellet, ſed cum ceſſante ipſo ualetudinario, peteretur a typographo libellus, noſtram quidem miſimus traductionem, ſed ſi quo pacto fieri poterit, etiam ab illo curabimus impetratam adiũgi. De

genere ipſo ſcripturæ uerba face
re in præſentia non lubet, neque
neceſſe eſſe arbitror. Quod autẽ
ad argumẽtum attinet, eſt πρεσβευ
τικὸς Ariſtidæ tanq̃ δευτερολογία
quædam, quia Homerici Achillis
orationi potuerit reſponderi. Li
banius uero Rhetoricas omniũ
ληκύθοις uidetur impendiſſe, ut ita
faceret loquentem Achillem, ne
cui poſteriori oratiõi locus relin/
queret. Itaꝗ multo ſunt omnia ꝗ
apud Homerum preſſiora, quæ/
dam etiã meo iudicio ſane tenuia
& a perſona dicentis abhorren/
tia. His addidimus nos παραφράσεις
utriusque Homerici loci, cum ue
teri tanquam paterna eloquentia
plane pueriliter balbutientes &
ὑποψελλίζοντων. Quas equidẽ nõ
eſt cur lecturis uel commendare,
uel abijce

uel abijcere nimium uelimus, cõ
ſecutumq; oĩa me putabo, ſi ad ſi
miles conatus ſtudioſos literarũ
prouocauero. Idẽ & de uerſione
dixero, de qua ne aſtute agam, ſi-
ue uero iudicio ſeu fauore, ſplen-
didius ſentio, q̃ ut nihil fieri me-
rito poſſe credam, cum ſperem de
hoc genere quodam ſingulari cõ
matico ac argutæ ſubtilitatis, ita
tranſlatas ſententias in Latinam
linguam a nobis, ut & illæ expreſ
ſæ, & huius proprietas cuſtodita
eſſe uideatur. ἀλλὰ γένοιτο τὸ ταύτης
πέρι, ὅπερ τῇ τύχῃ φίλον. Te mi Cari
ne rogo ut hęc noſtra accepta tibi
eſſe patiare: & quando ita ueteres
factitarunt & conſentaneum eſt,
dabis operam ut munerationis ſi
milis, id eſt literariæ aliquid no
bis rependas: cuius quicquid erit
certũ habeo futurum tale, ut pro

noſtris χαλκοῖσ a te χρύσεια reddita eſſe appareat. Sed, ſi æſtimatione uirſum precia rerum fieri par eſt, cum quæ potuerimus a nobis ela borata fuerint, ſatis precioſa hæc uideri debent : quod ſi & tu fece ris, non uidebūtur precioſa tua, ſed omnino erunt. De quo qui- dē tu uideris ſiue inſtitutum iam ante opus ſeu potius nouum re- mittere uelis: tuam enim eſſe ele- ctionem decet : mihi ſane

Δῶρον γ' ὅττι κε δὴ δοίης,

nō quidem κειμήλιον erit nobis, ut ille adoleſcens ait, ſed una cū mul tis edito propoſitoq; cōmuni uti litati perfruemur. Vale.

Calen. Ian. Anni ſa- lutiferi M. D. XXXV.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ΑΡΙΣΤΕΙΔΟΥ ΛΟΓΟΣ ΠΡΕΣΒΕΥΤΙΚΟΣ

πρὸς ἀχιλλέα.

Ἄριστε ἀχιλλεῦ, τὸ μὲν θυμοῦσθαί σε καὶ χαλεπαίνειν ἐφ' οἷς ὑβρίσθης, οὐδὲν ἀπεικός. οὐκοῦν ἄχρι τούτου γε. ἐγὼ δ' εἰ μὲν ἢ τῆς αὐτῆς γνώμης ἔτι καὶ νῦν ἀγαμέμνων εἴχετο, ἢ περὶ ὧν ἥμαρτεν ἔξαρνος ἦν, οὐκ ἂν παρῃτούμην. ἀλλ' εἴων ὅπως ποτέ σοι δοκεῖ ποιεῖν. ἐπεὶ δὲ ὑπὲρ αὐτοῦ τούτου καὶ δεήσεις ποιεῖται, καὶ δῶρα τὰ μὲν δίδωσι, τὰ δ' ἐπαγγέλλεται, τί ἄν τις ἐξελέγχοι τόν γε ὁμολογοῦντα; ἀλλ' ὥσπερ ἐκεῖνος σοι συγχωρεῖ δίκαια λέγειν, οὕτω σὺ πείθου παραιτουμένῳ. εἰ δὲ μή, πῶς οὐκ ἄτοπον. πρῶτον μὲν τὴν αὐτὴν γνώμην ἔχειν ἥνπερ πρὸ τοῦ. πρὸς τὸν οὐκ ἔτι τὴν αὐτὴν ἔχοντα. ἔπειτα σκόπει μὴ τὴν δίκην ὧν ἐκείνῳ μέμφῃ, παρ' ἡμῶν λάβῃς. εἰ μὲν γὰρ ἅπασι χαλεπῶς ἔχεις, εἰπὲ πρὸς διὸς ἀνθ' ὅτου. εἰ δ'

ἀπολύεις τούς γε ἄλλους αἰτίας, κοινὸς ἁ-
πάντων ὁ κίνδυνος. ὥστε πῶς δίκαιος εἶ πε-
ριορᾶν. ὅπως νὴ Δί᾽ ἐκεῖνος ἔτι μᾶλλον μισοῖ-
το ὑπὸ πάντων διὰ ταῦτα. ἀλλὰ μάλιστα
μὲν δέδοικα, μὴ οὐ λειφθῶσιν οἱ μισήσον-
τες. οὕτω πυκνοὶ πίπτουσιν. ἔπειτα νῦν γε
ὦ πρὸς θεῶν, πῶς ἄλλως γνώμης οἴει ἔχειν
αὐτούς. δέδοικα μέντοι μὴ σοῦ πλεονάζον-
τος, τοὐναντίον ἢ σὺ βούλει γένηται. κἀ-
κεῖνον ἀφέντες εἶτα σοι μέμφωνται. μὴ γὰρ
οἴου τὸν μὲν πρότερον ἄρξαντα τῆς ὀργῆς,
ὑπαίτιον εἶναι. τὸν δὲ μὴ ὕστερον ἐθέλοντα
παύσασθαι, μετρίως δόξειν βεβουλεῦσθαι.
χωρὶς δὲ τούτων, οὐ σὸν ὦ φίλε ἀχιλλεῦ,
μᾶλλον, ὅπως τις δικαίως μισήσεται ζη-
τεῖν, ἢ πῶς τὸ κοινὸν σωθήσεται. εἰ γὰρ δεῖ
χαλεπαίνειν διὰ τέλους, τοῖς βαρβάροις ἂν
ἔγωγε φαίην δεῖν, καὶ τοῖς φύσει πολεμίοις.
πολὺ γὰρ μείζω πρὸς τούτους ἡμῖν τὰ ἐγκλή-
ματα καὶ ὑπὲρ μειζόνων. ὥστε πῶς δίκαιον
τὸν μὲν ἐπὶ καιροῦ λυπήσαντα μισεῖν. τοὺς
δ᾽ ἐξ ὅτου γεγόνασι πολεμίους μὴ ὅσον ἀθῴ-
ους περιορᾶν, ἀλλὰ καὶ τοσοῦτον κρατοῦν-
τας τῶν σῶν ἑταίρων, καὶ μεθ᾽ ὧν ὤφθης πρῶ-

τοῖς. ἐπεὶ νῦν εἰ σοι δέδοκται παντάπασι διαφθεῖραι τὸ στρατόπεδον, τί οὐκ ἄντικρυς γίγνῃ μετὰ τῶν βαρβάρων. καὶ τοὺς μὲν ἐκ τοῦ ἄστεος ἐᾷς προσελαύνειν, αὐτὸς δὲ ἀπὸ τοῦ σιγείου προσβαλὼν, ἐν μέσῳ σαυτοῦ τε κἀκείνων ποιεῖς. ὅτι νὴ δία οὐκ ἄνεκτα ταῦτα, οὐδὲ ὅσια, τῶν αὐτῶν τοίνυν τούτων ἔχεται λογισμῶν, καὶ ἡ νυνὶ βοήθεια. ἀπόλλωνται μὲν γὰρ οὐδὲν ἧττον καὶ τὴν ἡσυχίαν ἄγοντος σοῦ. πρόσεστι δὲ τῷ σχήματι ῥαθυμία τοῦ δοκεῖν θεωρεῖν τὰ γιγνόμενα. ὥστε διπλοῦν ἀνθ᾽ ἁπλοῦ τοὔνειδος γίνεται. καὶ τὸ μισεῖν τοὺς ὁμοφύλους δοκεῖς. καὶ φοβεῖσθαι τὴν μάχην. μὴ σύγε. ἀλλ᾽ ἐξ ἀρχῆς δυοῖν ἑλοῦ θάτερον. εἰ μὲν τὰ τῆς ὀργῆς νικᾷ, χρῆσαι παντὶ τῷ θυμῷ. εἰ δ᾽ ἐπίστασαι λογίζεσθαι, μὴ σχίζου τῇ γνώμῃ. μηδὲ ἀπέχου μὲν ὡς φίλων, πρόσει δὲ ὡς πολεμίους. ἀλλ᾽ ἴσθι τοσούτῳ χείρω νυνὶ ποιῶν, ἢ εἰ μετὰ τῶν βαρβάρων ἡμῖν ἐπῄεις, ὅσῳ φανερᾶς ἔχθρας προδοσία χαλεπώτερον. σὺ δὲ εἰ μὲν πρέσβεις ἔλθοιεν παρὰ πριάμου νυνὶ περὶ συμμαχίας, οὐκ ἂν αὐτοὺς δέξαιο τῇ σκηνῇ. ἃ δ᾽ ἂν εὔξαιντο ἐκεῖνοι, ταῦτα σὺ πράττεις.

καὶ τῷ θυμῷ τὰ πράγματα ἀπολλύς, κάθη-
σαι. ἔπειτα δ' εἰ μὴ σκληρῶς τοῦτο ποιεῖς, ἢ πυ-
ρὶ, πρᾶον τοῦθ' ἡγῇ τι. καὶ λόγον μὲν οὐκ ἂν
ἐξ ἴσου δοίης ἐκείνοις τε καὶ ἡμῖν. ἐξ ἴσου δὲ
ἀμφοτέροις ἐκ πολλῶν ἕστηκας. μᾶλλον δὲ
βοηθεῖς μὲν οὐδετέροις. τῇ δὲ γνώμῃ πρὸς
ἐκείνους ῥέπεις. τοσοῦτο πλέον ἡμῶν ἔχουσι.
καὶ παρ' αὐτὴν μὲν τὴν ὀργὴν οὕτω πολιτι-
κῶς ἔχεις, ὥστ' οὔτ' αὐτὸν τὸν ἀγαμέμνονα
διεχειρίσω. ὡς οὐ δεῖν τεθνάναι. μέγα τού-
του τεκμήριον. οὐκοῦν ἀπέσφαξάς γε αὐτὸν
ἐξόν σοι. νῦν δὲ οὐδὲ τῶν ἄλλων, οὐδένα οἴει
λιπεῖν. καί τοι πολλῷ γε βέλτιον μετὰ τῶν
ἄλλων κἀκεῖνον ἢν παρ' ἀξίαν σῶσαι, ἢ δι' ἐ-
κεῖνον ἅπαντας ἄρδην ἀφανισθέντας περι-
δεῖν. καὶ δίκην γ' ἂν οὕτω παρ' αὐτοῦ τὴν
γινομένην λαβεῖν. εἰπὲ γάρ μοι τί μάλιστ' ἂν
εὔξαιο. οὐκ ἀδοξεῖν ἐκεῖνον καὶ κακῶς ἀκούειν.
καὶ μῖσος ἔχειν ἐν τῷ στρατοπέδῳ; τοῦτο τοί-
νυν ἐξ ἀμφοῖν αὐτῷ περιέσται, ἔκ τε τῶν μέ-
χρι τοῦδε ἀπολωλότων, καὶ τῶν ἀπὸ τού-
του σωθησομένων. ὁ μὲν γὰρ ἐκείνοις αἴτιος
τούτου δόξει γεγενῆσθαι, τῆς συμμαχίας
ἀποστήσας σε, δι' ὧν ὕβρισε. σὺ δὲ τούτους

νυνὶ σεσωκέναι μόνος ἀνθρώπων τῇ βοηθείᾳ. ὥστε τὸ μὲν ἐκείνου μέρος, οὐδεὶς τῶν ἀχαιῶν σώζεται. τὸ δὲ σὸν, οὐδεὶς διέφθαρται. σκόπει δῆτα καὶ τὴν αἰτίαν τῆς διαφορᾶς αὐτοῦ, ὡς οὐκ ἐξ ἄλλου σοι πράγματος κατέστη πρὸς αὐτόν. ἀλλ᾽ ὑπὲρ τῶν ἀχαιῶν ὅπως σωθεῖεν. τήν τε γὰρ ἐκκλησίαν διὰ τοῦτ᾽ ἐποίησας, ὁρῶν τὸ πλῆθος τῶν ἀπολλυμένων ὑπὸ τῆς νόσου. τῷ τε κάλχαντι παρῄνεις εἰπεῖν θαῤῥούντως, εἴ τι σύνοιδε. καὶ παρελθόντος ἐκείνου καὶ φάσκοντος δεδιέναι μή τινα τῶν αὐτοῦ κρειττόνων παροξύνας κακόν τι λάβοι, ἀπώμνυς, ἦ μὴν μὴ περιόψεσθαι αὐτόν. ἐκ δὲ τούτων, ὁ μὲν ἀπέφαινε τὸν αἴτιον. ἐκεῖνος δ᾽ ἀμφοτέροις ὠργίζετο. σὺ δὲ οὐκ ἀπέστης, πρὶν ἐπράχθη τὸ δέον. οὐκοῦν ἄτοπον ὑπὲρ ὧν ἵνα σωθῶσι, τότε ἤρω τὴν ἔχθραν, τούτους νῦν διὰ τῆς ἔχθρας διαφθεῖραι. καὶ τὰς μὲν παρὰ τῆς τύχης συμφορὰς, ἀξιοῦν ἐπανορθοῦσθαι. αὐτὸν δ᾽ ἐξεπίτηδες πράττειν, ἐξ ὧν ἀπολούμεθα. καὶ περὶ ὧν τότε ηὔχου τοῖς θεοῖς, περὶ τούτων νυνὶ μὴ βούλεσθαι διαλεχθῆναι σαυτῷ. καὶ ὑπὲρ μὲν τοῦ ἱερέως τοῦ βαρβάρου, τὸν

θεὸν ἀξιοῦν αἰδεῖσθαι. περὶ δὲ τῶν ὁμοφύ-
λων τοσούτων τὸ πλῆθος, μήτε θεοὺς τοὺς
κοινούς, μήτε ὁσίαν, μήτε σπονδὰς ἐθέλειν
αἰσχυνθῆναι. καὶ τότε μὲν προέσθαι τὴν σαυ-
τοῦ γνωρίμην, ἵνα σωθῇ τὰ τῶν ἀχαιῶν. νῦν
δὲ ἀντὶ ταύτης αὖ πανστρατιᾷ τοὺς ἀχαι-
οὺς ὡς ἐχθροὺς ἐκτρίψαι. καὶ μὴν εἰ δυοῖν αἵ-
ρεσις ἦν, καί μοι πρὸς Διὸς ἔστω παρρησία, δί-
καιον γάρ, ἄλλως τε καὶ παρ' ἀνδρὶ τιμῶντι
τἀληθές, πότερον δεῖ τὴν παῖδα σῶαν εἶναι
ταύτην, ἢ ἀντὶ πάντων λειφθῆναι. τί οὖν.
εἰ ταύτην τ' ἔξεστι κομίζεσθαι, καὶ σῶσαι τοὺς
ἀχαιούς, αἱρήσῃ ταύτης ἀφεστάναι, καὶ τού-
τους ἀπολωλεκὼς εἶναι; καὶ πῶς οὐκ ἄτοπον
συμφορὰν μὲν ἐπίστασθαι συμφορᾶς ἀνταλ-
λάξασθαι, ἄμφω δὲ ἐξὸν ἔχειν ἄνευ ζημίας,
εἶτα ἀμφοῖν δέξασθαι στέρεσθαι. οὐ γὰρ μόνον
τῶν ἀτρειδῶν ἦν τὰς ἑαυτῶν γυναῖκας φι-
λεῖν. τίς δ' ἂν εἴποι ταῦτα. ἀλλά τοι καὶ ἡ
τοῦ πολέμου φύσις κατὰ τοῦτο, ἀξία θαυ-
μάσαι. εἰ γὰρ ἑκάστῳ τούτων παρέστη τὸ κατ' ἀρ-
χὰς εὐθύς, ὅτι νῦν μενέλαος συλλέγει στρα-
τείαν τῆς γυναικὸς τῆς ἑαυτοῦ χάριν, πῶς
ἂν ἐμέ γ' εἰκὸς καταλιπόντα τὴν ἐμαυτοῦ
γυναῖκα.

γυναῖκα. καὶ πρὸς τῇ γυναικὶ, παῖδας καὶ γονεῖς ἐν γήρᾳ, καὶ χρήματα, καὶ οἰκέτας, πλεῖν ἔξω τῆς ἑλλάδος. καὶ πρὸς τούτοις ἔτι κινδυνεύειν ἐπὶ στρατείας περὶ ψυχῆς, ὃ πᾶσιν ἁπάντων κτημάτων τιμιώτατον εἶναι συμβέβηκε, καὶ πρῶτον, ὡς τῶν ἑλλήνων ἄειστος ὁρίζεται, εἰ τούτοις ἕκαστος ἐχρήσατο τοῖς λογισμοῖς, οὐδ' ἂν συνελέγη δή που τὸ στράτευμα τὴν ἀρχήν. νῦν δὲ οἶμαι δύο ταῦτα ἦν τὰ κινοῦντα. τό τε τοῖς ὅρκοις πάλαι προκατειλῆφθαι θεῶν τινος οἶμαι προνοίᾳ, καὶ τὸ κοινῇ πάντας ὑβρίσθαι δοκεῖν ὑπὸ τῶν ἀλλοφύλων, καὶ μὴ δεῖν ἐπιτρέπειν. προσθείη δ' ἄν τις τάχα καὶ τρίτον, τὸ, τοῖς ἄρχουσι πείθεσθαι χρῆναι. μὴ δὴ τοῦτο σκοπῶμεν νῦν τινος χάριν τὴν στρατείαν ἠράμεθα ἐξ ἀρχῆς. ἀλλ' ὅτι οὐ τῶν αὐτῶν ἐστι τότε μὲν τὰ ἄλλα πάντα δεύτερα ποιήσασθαι. νῦν δὲ πρὶν ὧν ἕνεχ' ἥκομεν πρᾶξαι, διαστῆναι. οὐ γὰρ τῇ προφάσει τῆς στρατείας ἀκόλουθον, ἀλλ' ἐναντίον αὐτῇ τῇ στρατείᾳ, φαίνεται. ἔπειτ' οὐδὲ ὅμοιόν ἐστι. ὅπως δὲ ἀκούσῃ πρᾴως, οὐ γὰρ ἵνα ἐξελέγξω λέγω, ἀλλ' ὅπως παραμυθήσομαι. εἰ γὰρ μὴ ἐκομίζου τὴν ἄν-

θρωπον, εἰκότως ἂν εἰς ταῦτ᾽ ἀνεχώρεις.
νῦν δὲ οὐ μόνον αὐτὴν, ἀλλὰ καὶ ἕτερα πρὸς αὐ
τῇ δίδωσιν. ἀλλὰ γὰρ ἐῶ τοσαῦτα τὸ πλῆ-
θος. καίτοι εἴγε οἱ τρῶες ἐβούλοντο τὴν ἑλέ
νην καὶ ὅσα μετ᾽ αὐτῆς ἄγοντες ᾤχοντο, ἀ
ποδιδόναι, οὐκ ἂν ἡμῖν ἦν λόγος πρὸς αὐτούς.
εἰ δὲ δὴ καὶ παρ᾽ ἑαυτῶν οἴκοθεν προσετίθε
σαν, οὔτε φωνὴν οὐδεὶς προσήκατο ἂν ὡς οὐ χρὴ
δέχεσθαι. τί τούτου μέγα σημεῖον. αὐτοὶ
ταῦτα προὐκαλούμεθ᾽ αὐτοὺς κατ᾽ ἀρχὰς
εὐθύς. ἀλλ᾽ οὔτε ἐκείνων οὐδεὶς ταῦτα ἐβού
λετο ποιεῖν, σοί τε ἣν ἀφῃρέθης ἐπάνεισι με
τὰ πολλῶν. εἰ δ᾽ αὖ καὶ δίκην δεῖ προσυπο-
σχεῖν τῆς ὕβρεως, δέδωκε καὶ μάλα πολ-
λὴν ἐκεῖνός γε. χωρὶς γὰρ ὧν ἀπολώλεκε το
σούτων τὸ πλῆθος στρατιωτῶν, τήν τε ἀπὸ
τοῦ φόβου καὶ τοῦ ταπεινὸς εἶναι, ἡλίκην τίν᾽
οἴει σοι δίδωσι δίκην. οὐδὲ γὰρ ἄλλο γε οὐδὲν
νῦν. ἢ τὸ σχῆμα πᾶν ἀποτέθειται, ἱκέτης
ἐκ βασιλέως. καὶ δοῦλος ἐξ ἐλευθέρου γεγο
νώς. καὶ εἰ δεῖ τἀληθέστερον εἰπεῖν ἐλέῳ μό
νῳ θαῤῥῶν, καὶ ἂν τὰ κράτιστα φέρηται πα-
ρὰ τῆς τύχης. καὶ μὴν εἰ δεῖ καὶ τούτων μνη
μονεύειν, ἐκεῖνο ἐνθυμήθητι. τῶν ἀτόπων ἐστὶ

συλλεγομέ

συλλεγομένης μὲν τότε τῆς στρατιᾶς, οὕτω προθύμως ἔχειν σε πρὸς τὸ μετασχεῖν τῶν πραγμάτων, ὥστ' ἐπειδὴ τάχιστα εἶδες τὰ ὅπλα, ὁρμῆσαι πρὸς αὐτά. καὶ μὴ κατασχεῖν σεαυτὸν, καὶ ταῦτα ὄντα παῖδα. κἂν ταῖς κόραις κρυπτόμενον. νῦν δ' ἐπειδὴ τηλικόσδ' εἶ. καὶ παῖδα ἔχεις ὡραῖον ὡς συνεῖναι καὶ στρατεύεσθαι. καὶ δόξαν τὴν πρώτην ἐν ἅπασιν εἴληφας, βούλεσθαι μὴ χρῆσθαι τοῖς ὅπλοις τοῖς σαυτοῦ, ἀλλὰ ζητεῖν προφάσεις δι' ἃς προήσῃ πάντα. καὶ τότε μὲν τὸν παῖδα ἀπολιπεῖν ῥαδίως, οὗ τί σοι φίλτερον εἰκὸς εἶναι. καὶ ἣν ὁμότιμον ἐκτήσω γυναῖκα σαυτῷ. νῦν δὲ ἑτέρας παιδὸς ἕνεκα τἀναντία γνῶναι σαυτῷ περὶ τῶν ὅλων. σκόπει μὴ οὐδὲ τῆς δηδαμείας ἡ ταῦτα τὰ ἄξια ἐπαινέσαι, μήτι γε ἀνδρὸς, ὅτου καὶ μνησθῆναι καλόν. καὶ λέγεις δὴ τὰς μοίρας τὰς διττὰς ἀκηκοέναι παρὰ τῆς μητρὸς ἄεισα εἰδυίας περὶ αὐτῶν. ἐγὼ δὲ ἀμφιγνοῶ μὲν, εἴτε σπουδάζων ταῦτα λέγεις, εἴτε ἐρεσχελῶν ἡμᾶς. καὶ φιλονεικίᾳ τινὶ θυμοῦ. οὐ γὰρ σοίγε οἱ λόγοι. πολλοῖς ἔργοις τοῖς σοῖς τεκμαίρομαι. οὐ μὴν ἀλλ' εἰ τὰ μάλιστα ἐσπούδακας, ἔστι σοι καὶ

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

τούτων οὕτως ἐχόντων, ὅμως τὰ δέοντα
βουλεύσασθαι. μάλιστα μὲν γὰρ ἔγωγε φαίην
ἂν τὴν μητέρα σου ποιεῖσθαι τούτοις συγκα
τατίθεσθαι τοῖς λόγοις. ἐπεὶ καὶ ὁ πατὴρ
καὶ ὁ διδάσκαλος οὕτως ἐπαίδευόν σε πειρώ
μενοι. ἐπεὶ ἐνταῦθα δὴ καὶ τὸ πάνδεινόν ἐστιν,
εἰ παρ' αὐτοῖς μὲν τοὺς λόγους καὶ τὴν ἀκοὴν
οὕτως ἐῤῥωμένως ἔχεις, ὥστε τὴν εὐδοξίαν,
καὶ τὸ καλὸν, πρὸ τῆς ἀδοξίας καὶ τοῦ γήρως
αἱρεῖσθαι. ἐπειδὴ δὲ ὁμολογήσας αὐτῇ περὶ
τῆς ἀμείνονος μοίρας, πάλιν ἐξ ἀρχῆς ἕτερος
γενήσῃ. καὶ τότε μὲν καὶ τῆς ψυχῆς τῆς σαυτοῦ πλείο
νος ἄξιον ἡγοῦ τὸ στρατόπεδον. νῦν δὲ οὐδὲ
τῆς κόρης ἀντάξιον. μᾶλλον δὲ ἑνὸς τῶν πε
ρὶ τὴν κόρην συμβάντων. οὕτως μετ᾽ ἂν ἀμ
φοτέρων δόξαις τὴν παῖδα τιμιωτέραν ἡ
γεῖσθαι καὶ σαυτοῦ καὶ τῶν ἀχαιῶν. πῶς γὰρ
οὐχὶ καὶ σαυτοῦ. εἴ τοι μὲν σώζεσθαι, κρεῖττον
τὸ εὐδοξεῖν. τοῦ δὲ εὐδοξεῖν, ἡ κόρη. δόξαις δ'
ἂν οὕτω καὶ τὴν μητέρα ἐψεῦσθαι, καὶ σαυτὸν
ἐξελέγχειν, οὐκ ἐπισταμένως λογίζεσθαι.
τὸ μὲν γὰρ ἀπ' ἀρχῆς εὐθὺς ἑλέσθαι πλεῖν οἴ
καδε καὶ ζῆν ἡσυχῇ, γνώμης κρείσσονος ἦν. τὸ δὲ
τοὺς μετὰ τῆς στρατείας κινδύνους ἑλόμενον,
μετὰ

μεταβαλέσθαι, περὶ τῶν αὐτῶν οὐ ταῦτα γιγνώσκειν ἐστίν. ὅ σοι πάντων ἥκιστα προσήκει, ὅσωπερ ἀνθρώπων μάλιστα ἀρετὴν ἀσκεῖς. καὶ τὸ μὴ ψεύδεσθαι. οὐ γὰρ δήπου τοὺς μὲν ἄλλα λέγοντας, ἄλλα δὲ γινώσκοντας αἰτιάσῃ, τοὺς δὲ ὑπὲρ τῶν αὐτῶν ἄλλοτε ἄλλως βουλευομένους, καὶ μὴ τοὺς αὐτοὺς ὄντας, ἐπαινέσῃ. σκέψαι δὲ ὅτι κἀν τοῖς στρατοπέδοις μέχρι μὲν μὴ συνάγουσιν οἱ στρατηγοί, πᾶς τις ὡς εἰπεῖν αὐτοκράτωρ ἐστὶν αὐτοῦ. ἐπειδὰν δὲ εἰς τάξιν καταστῇ, ταύτην δεῖ σώζειν, ἢ φαῦλον νομίζεσθαι. σὺ δ' οὐ βουλεύεσθαι δέξεις περὶ ὧν αἵρεσις ἔστι σοι. ἀλλ' ἀναχωρεῖν ἀπὸ τούτων, ἃ προὔκεινας αὐτός. καὶ μονονοὺ λιπεῖν τὴν τάξιν ὃ καὶ ὄναρ μοι δοκεῖς σύ γε ἰδὼν, εἰκότως ἂν αἰσχυνθῆναι. δίκαια καὶ καλὰ ταῦτα ἐγίγνωσκες, ὡς οὐχ ἄιστερος βίος ἀνθρώπῳ μακρὸς, εἰ μὴ προσέσται τὸ πράττειν τὰ δέοντα. ἐπεὶ δὲ τὴν παῖδα οἱ κήρυκες ἄγοντες ᾤχοντο, ἢ δὴ διὰ τοῦτο ἑτέρως ἔχει τὰ τῆς φύσεως; οὐ παύσῃ δύο τῶν χειρίστων ὀνειδῶν ἀμφισβητῶν, δειλίας καὶ ἀπιστίας, ὃ τῶν ἐχθρῶν οὐδεὶς πώποτε ὠνείδισε. καί τοι τίς ἂν ἦσθα πρὸς θεῶν

εἴ σοι ταῦτα ἀγαμέμνων ἀνετίθει; ἐγὼ δὲ ἡγοῦμαι τὸ μὲν τέλος πάντων πραγμάτων τῷ θεῷ χρῆναι καταλιπεῖν. ὥσπερ καὶ ἡμᾶς ἅπαντας ὁρᾷς περὶ ἡμῶν αὐτῶν βεβουλευμένους. οὐ γὰρ ποικίλης γε τοῦτο δεῖται γε μούσης, ἀλλὰ πᾶσι γε δῆλον, ὅτι εἰρήνη πολέμου γέρας συμφορώτερον. καὶ ὅτι οὐκ ἔστι μαχομένους καὶ κινδυνεύοντας, ἀναιμωτὶ τὸν αἰῶνα διελθεῖν. ἀλλ' οὐ τούτου χάριν τὰς πίστεις παραβαίνομεν. ἀλλ' ὧν μὲν ὁ δαίμων κύριος αὐτῷ καταλείπομεν. ὅσα δὲ εἰς λογισμοὺς ἥκει καὶ τὸ βουλεύσασθαι, μηδαμοῦ τῶν χειρόνων ἑαυτῷ τιμᾶν, ἀνδρὸς νὴ δί'. ἀλλ' οὐκ ἀξιά σου τὰ δῶρα. οὐδ' ἐκπλήξει σε ὑπισχνούμενος. οὐδ' ἂν αὐτὴν τὴν ψάμμον ἢ τὴν κόνιν παρέλθῃ τῷ πλήθει. ἄριστά γε ὦ γενναῖε. καὶ γνωρίζω τούτους ἤδη τοὺς λόγους. ἐγὼ δὲ οὐ τῶν χρημάτων ἕνεκα συμβουλεύω σοι βοηθεῖν τοῖς ἀχαιοῖς. πόθεν. μὴ δέ ποθ' οὕτω σμικρῶς ἴδοιμι τὰ σά. ἀλλὰ ὑπὲρ αὐτοῦ τοῦ δικαίου, καὶ τοῦ προσήκειν οὕτω ποιεῖν. ἀλλὰ τὰ μὲν χρήματα, φιλίας τινὶ συμβόλῳ δέξασθαι. εἴτε καὶ χαίρειν ἐᾷς, οὐχὶ δοίσομαι. καὶ περὶ τῆς κηδείας ταύτης ἴσθι χολῆς

βουλεύσασθαι. μὴ δὲ γὰρ ἂν οὕτω σε ἁρπάσαι παῖς ἂν εἴην, εἰ ταῦτα συμβουλεύοιμι. ἡγεῖσθαι δ' ἐκεῖνον μὲν οὐκ ἀνελεύθερον εἶναι τῇ δόσει καὶ τοῖς ἐπαγγέλμασι. σαυτῷ δὲ ἕτερα εἶναι τὰ ποιοῦντα τὴν ἔξοδον. ποῖα ταῦτα, ἃ μικρῷ πρόσθεν αὐτὸς ἀπηρίθμησας πολλῶν χρημάτων καλλίω πράγματα. πῶς γὰρ οὐκ ἄτοπον καὶ ὑπερφυές, εἰ πρότερον μὲν τῶν ἀχαιῶν πρώτων ἡγούμενος, δώδεκα μὲν πόλεις κατὰ θάλατταν. ἕνδεκα δ' εἷλες κατ' ἤπειρον. οὐδὲν τῶν ἰδίων ὑπολογιζόμενος. οὐ πόνον. οὐ κίνδυνον. οὐκ ἀσχολίαν. οὐχ ἣν φιλτάτην εἶναι φὴς αὐτῷ ψυχὴν εἰ προήσῃ. καὶ τοσούτων εὐπορειῶν. καὶ τοσαύτης εὐδαιμονίας ἀπέδειξας κυρίους. νῦν δ' οὐδ' εἰς αὐτὴν τὴν σωτηρίαν αὐτοῖς ἐπαρκέσαι τολμήσεις. πόθεν ὦ πρὸς θεῶν ἐκτήσω τὴν κόρην, ἵνα τἄλλ' ἀφῶμεν, ἀφ' ὧν εὐεργετεῖς ἡμᾶς. οὕτω γοῦν καὶ τὴν λυρνησὸν εἷλες ἐν τῷ πλήθει τῶν ἄλλων χωρίων. οὐκοῦν οὐ τὸ στράτευμα τῆς παιδὸς εἰκὸς εἶναι προσθήκην. ἀλλὰ τὴν παῖδα τοῦ στρατοπέδου καὶ τῶν ἄλλων πραγμάτων. ἁπάντων δὲ ἀτοπώτα-

τον. εἰ ὁ μὲν χρύσης τὴν θυγατέρα ἀπολαμ-
βάνων, οὐ προήχθη περαιτέρω εὔξασθαι ὡσ
πολεμίοισ, ἀλλ' ἐπέπαυτο τῆσ ὀργῆσ. ἄν-
θρωπος βάρβαρος καὶ φύσει πολέμιοσ. καὶ κιν-
δυνεύσασ καὶ περὶ τῆσ σωτηρίασ αὐτῆσ. σὺ
δὲ αὐτήν τε ἀπολαμβάνων τὴν ἄνθρωπον.
καὶ πρὸσ ἐκείνῃ τοσαύτασ λαμβάνων. καὶ
πρὸς ταῖσ γυναιξὶ, χρήματα. πόλεισ. χώ-
ραν. συγγένειαν. ἃ θαυμάζειν δέον, οὐκ ἐᾷσ,
μέμψασθαι δ' οὐκ ἔχεισ, εἰσ ἀεὶ μενεῖσ ἐπὶ
τοῦ παροξυσμοῦ. κἀκεῖνοσ μὲν, συνεύξατο
τῷ θεῷ παῦσαι τὴν νόσον ἡμῖν. σὺ δὲ οὐ βου-
λήσῃ τὰ τοῦ πολέμου δύσκολα, ἀλλ' ὁ
μὲν ἐξ ἀμφοῖν ἐνεδείξατο τὴν δύναμιν τοῖς
ἀχαιοῖς, ἔκ τε ὧν καταρασάμενος πολλοὺς
διέφθειρε. καὶ ὧν εὐξάμενος ἅπαντας ἔσωσε,
σὺ δὲ ἀξιώσεισ ἀπὸ θατέρου μόνου μιμήσα-
σθαι τὸν ἱερέα, καὶ ταῦτα ἀπὸ τῶν ἀπολλυ-
μένων. ἀλλὰ πολλῷ βέλτιον ἦν, τῷ σώζειν
πάντας ἐνδείκνυσθαι τὴν ῥώμην, ἢ θάτερον
πράξαντα, τὸ λοιπὸν φυγεῖν. καὶ προσδοῦ-
ναι μὲν τὸ στρατόπεδον ἐπὶ τῷ κομίσασθαι
τὴν σεαυτοῦ, δεινὸν ἂν ἡγήσω. σῶσαι δὲ

οὐ δόξῃ

οὐ δόξῃ τὸ στρατόπεδον μετὰ τοῦ τὴν σεαυτοῦ κομίζεσθαι; ἀλλ' ὁ μὲν ἕκτωρ, πυρὶ καὶ σιδήρῳ πάντα ἐπέρχεται. καὶ μικρόν ἐστιν αὐτῷ σῶσαι τροίαν. σὺ δ' ἐν τῇ σκηνῇ μενεῖς, ᾄδων πρὸς λύραν; πότερον τὰ ἑτέρων ᾄδων μενεῖς; ἀλλ' ἄμεινον ἑτέροις τὰ σαυτοῦ παρασχεῖν ᾄδειν ἤθη χρηστῷ τινι. ἀλλὰ τὴν μῆνιν νὴ δι' ἣν μηνίεις, ταύτην ὑμνήσεις ὥσπερ θεόν; δέδοικα μὴ τῶν ἀχαιῶν ᾄδῃς ἐπιταφίους, οὕτως ἀωρὶ τοῦ παντὸς χρόνου μελῳδῶν. εἶτα φὴς εἶναι φιλόψυχος, καὶ καταψεύδῃ σαυτοῦ. καί τις πρὸς θεῶν οὕτω παῖς ἐστιν, ὡς πεπεῖσθαι, ὡς ἀχιλλεὺς ἀγαπᾷ ζῶν. ὁ δὲ κατὰ ταῦτα ἔξω βελῶν ἐστιν, ὅτι οὐχ οἷόν τε ἀποθανόντα ἀναστῆναι. εἰ δὲ ἐπείου τοῦ φωκέως ἠκούομεν, ποίους ἄν τινας ἄλλους ἢ τούτους ἠκούομεν τοὺς λόγους. καίτοι τί λέγω. ἐκεῖνος πυκτεύων ἥδιον ἂν τεθναίη πρὶν ἐκστῆναι τινί. ταῦτα μὲν οὖν εἰς θερσίτην τρέποιτο. καὶ ὅστις ἐκείνῳ παραπλήσιος. σὺ δὲ ὦ τᾶν μὴ σκῶπτε. μηδὲ ἀντιποιοῦ κακίας, ἧς οὐδὲν σοι προσήκει. οὔτε γὰρ ἡμᾶς πείσεις, οὔθ' ὡς ἐγῷμαι σαυτόν. ἀλλὰ καθελκύσας τὰς ναῦς ἀποπλέων

φιχήσῃ. εἶτ' οὐκ αἰσχύνῃ τὰς νηρηΐδας τὰς
πρὸς μητρὸς συγγενεῖς, οὕτως ἀνομοίως πλέ-
ων τὴν θάλατταν νῦν ἢ πρὸ τοῦ; τότε μὲν
δόξης ἀφορμὰς δύναμιν συλλέγων τῷ στρα-
τοπέδῳ. νυνὶ δὲ ἅπασι λελυμασμένος.
πρὸς ποτέρων δέ σοι ταῦτα ἄξια τῶν συγ-
γενῶν. πότερον τῶν θαλαττίων, ἢ τῶν κατ'
ἤπειρον, οἵ ποτ' ἐλθόντες δεῦρο, οὐ πρότε-
ρον ἀπῆραν, πρὶν συνεξεῖλον τῷ πολεμάρ-
χῳ. τί δὲ καὶ θήσῃ πρὸς θεῶν ὄνομα τῇ θυσίᾳ,
ἣν ἄμεινον θύσειν φῄς. πότερον χαριστήρια,
ἤ τι καλεῖς αὐτήν. εἶτ' οὐκ αἰσχύνῃ, τοὺς θε-
οὺς αὐτοὺς μάρτυρας, τοσαύτης κακίας ποι-
ούμενος, θύων ἢ σπένδων καὶ παιανίζων ἐπὶ
ταῖς τῶν ἑλλήνων συμφοραῖς, φάσκων ἀπέ-
χειν ἅπαντα παρ' αὐτῶν, ὁρῶν εἰς τὸ πεδί-
ον μεστὸν νεκρῶν τῶν ὑπὸ σοὶ ταττομένων ἢ
μέχρι οὐκ οἶδα πόσην ἄνω; τί δὲ ἔσται σοι
τοῦ πλοῦ τὸ σχῆμα. ἥτις λόγος τῶν ἰδόν-
των ἢ τῶν ἀκουσάντων. ἀχιλλεὺς ἐπανα-
πλεῖ. ποῖα λάφυρα κομίζων. ἢ ποίας ἀπαρ-
χὰς ἄγων. ἢ τί τῶν οἴκοι στεφανώσων, ἢ τῶν ἰ-
δίων ἢ τῶν δημοσίων. καλὸν δὲ τῇ σκύρῳ
νῦν προχεῖν. ἢ τί φήσεις πρὸς τὸν παῖδα τὸν

αὐτοῦ

αὐτοῦ. τί τῇ γυναικί, δόξεις εἶναι βελτίων
εἰπών. ἢ τί λέγω σκῦρον ἢ γυναῖκα. ἀλλὰ τί
φήσουσιν οἱ τρῶες. ἆρ' οὐ φεύγειν σε φοβούμε-
νον, ὁρῶντα γε οὐδεμίαν σωτηρίαν ἐὰν μενεῖς.
ἄξιόν γε, οὐ γάρ; τὸ πριάμου καὶ νέστορος γῆρας
συντεθὲν τοιαύτης αἰσχύνης. ἀλλὰ ταῦ-
τα μὲν οὐ ποιήσεις μενεῖς δὲ ἄχρις ἂν ἐπὶ
τὰς σὰς σκηνὰς τε καὶ ναῦς ὁ ἕκτωρ ἀφίκη-
ται κτείνων πάντας ἑξῆς. τηνικαῦτα δὲ
αὐτοῖς δείξεις ὅστις εἶ. εἰ μέν σοι τοσοῦτον πε-
ρίεστι, πῶς οὐκ αἰσχρὸν, ἐκεῖνον τὸν καιρὸν ἐᾶ-
σαι γενέσθαι, καὶ μὴ παρὰ τῆς ἁπάντων σω-
τηρίας τῇ περιουσίᾳ χρήσασθαι. ἀλλ' ὅταν
μηδεὶς λείπηται. εἰ δ' ἐργῶδες γίγνεται,
βοηθητέον ἡνίκ' ἔξεστιν. ἐγὼ δὲ ἀπιστῶ οὐδὲ
ἐκεῖνο γὰρ μὴ οὐ καὶ μόνον σε καὶ πρὸς ἅπαντας
τοὺς βαρβάρους ἱκανὸν εἶναι καὶ ἔτι κρείττω.
ἡγοῦμαι μέντοι γε παντὶ τὸ τοῦ καιροῦ δια-
φέρειν. οὐ μόνον κατὰ τοῦτο ὅτι ἄμεινον οὕτως
σοι τῶν θεατῶν καὶ μαρτύρων ἐπιδείξασθαι
τὴν ὑπερβολὴν ταύτην, ἀλλ' ἔτι καὶ κατ'
ἐκεῖνο, ὅτι τηνικαῦτα μὲν σαυτῷ δόξεις βοη-
θεῖν. καὶ κατ' ἀνάγκας ἀμύνεσθαι. νῦν δὲ ὑ-
πὲρ τῶν κεκληκότων ἐξιέναι καὶ βοηθεῖν πρό-

τούτοις. ὥστε οὐ μικρὸν κερδανεῖς παρὰ τὴν χάριν. ἄλλως δὲ οὐκ ἔστι τοῦ πολέμου ταμίαν γενέσθαι καθ᾽ ὅσον βούλει μέρος. ἀλλὰ πολλὰ γένοιτ᾽ ἂν ὧν βούλει μηδ᾽ ὧν οὐκ ἂν δέξαιο. πεσεῖται τις καὶ τῶν πάνυ σοι κεχαρισμένων. καὶ τοὺς μὲν ἄλλους ἐῶ. ἀλλ᾽ ἡμᾶς τουτουσὶ οὓς προσεῖπας φιλτάτους, καὶ οὓς ἀνέστησας ἰδών. καὶ οἷς τὸν κρατῆρα προέστησας. καὶ προεῖπας ζωρότερον εἶναι, τί κωλύει καὶ ἡμᾶς ἄνειον κεῖσθαι τηνικάδε ὁμοῦ τοῖς ἄλλοις ἀναμεμιγμένους. καὶ μηδ᾽ ὧν νῦν σπένδεις, ἀπὸ τούτων ῥυῆναι τὴν γῆν αἵματι. καὶ κρατῆρας ἐν ἕκτορος ἵστασθαι ἐπινικίους. καὶ παιᾶνας ᾄδεσθαι, σοῦ ζῶντος ὦ ζεῦ. τί δ᾽ ἂν ἅμα ταῖς σκηναῖς ἐχομέναις, καὶ ταῖς ναυσὶν ἐμπιπραμέναις. καὶ τὴν περιπόθητον ταύτην ἀποσφάξωσιν. ἢ καὶ λαβόντες αἰχμάλωτον, αὖθις ἄγωσι πρὸς ἑαυτούς. ἣ καὶ νῦν αὕτη κεφάλαιον ἐστὶ πάντων τῶν πραγμάτων. ἡδέως δ᾽ ἂν σου πυθοίμην. εἰ τότε αὐτὴν παραλαβὼν ἀγαμέμνων, ἀπέκτεινεν, ἢ καὶ παρὰ σοὶ μένουσαν, τί χρὴ αὐτὸν ποιεῖν νῦν. ἢ πόσα τὰ ὑποφόνια καταθέντα, δεομένους τι χεῖν. εἰ δὴ νῦν ζῶσαν τε

καθισάντος. καὶ προσέτι ὀμνύντος ἃ μά-
λιστ' ἂν σὺ βουληθείης, εἶτ' οὐ παύσῃ. ἀλλ'
εἰς τοσοῦτον ἥξεις ὀργῆς, ὥστ' εἰ μὴ παρὰ
πάντων λήψῃ τὴν δίκην κατὰ ἔθνη καὶ
κατὰ πόλεις καὶ κατὰ σῶμα ἕκαστον, ἀβί-
ωτον ἡγήσῃ τὸν βίον σαυτῷ. ὅρα μή ποτ' αὐ
τὴν τὴν παῖδα μισήσῃς. ὅταν δ' αὐτὴν δια-
φθαρῇ πανσυδὶ τὸ στρατόπεδον. βούλομαι
δέ σοι καὶ τοῦ διδασκάλου χείρωνος λόγον
εἰπεῖν, ὅν ποτ' ἐν τῷ πηλίῳ διελέχθη πρός
τινα τῶν ἀπ' αἰτωλίας. θυμοῦ γὰρ ἔφη με-
τρίου μὲν, οὐδὲν ἂν κάλλιον ἀνθρώπῳ γενέ-
σθαι. τοῦ δὲ ὑπερβάλλοντος οὐδὲν αἴσχι-
ον. ὃς τοὺς μὲν ἐχθροὺς ἀντιλυπήσας, ἀ-
πήλλακται. τὸν δὲ ἔχοντα, ἀεὶ καὶ συνε-
χῶς ἀπόλλυσι. σὺ δὲ μήτε ἐργάσῃ πραυτέ
ρω μηδὲν, μήτε αὐτὸς πάθῃς. ἐνθυμοῦ δὲ
ὅτι πᾶσι πράγμασιν ὥσπερ ὅρους ἡ φύσις ἐστή-
σατο. καὶ οὐδέν ἐστιν ἀθάνατον τῶν ἐν ἀνθρώ
ποις οὐ πόλεμος. οὐκ εἰρήνη. οὐ χάρις. οὐκ
ὀργή. οὐκ ἄλλο τῶν πάντων οὐδέν. ἡ τῆς
μὲν φιλίας τῆς ὑπαρχούσης σοι πρὸς
τὸν βασιλέα εὑρέθη. τῆς δὲ ὀργῆς οὐ φανεῖ
ται πάλιν. καὶ μὴν πολὺ βέλτιον τὰς φι-

λίας ἀθανάτους ἀξιοῦν εἶναι. ἢ κείνων ἐρχο-
μένων ὑπὸ τὴν τύχην, τῆς ἔχθρας μὴ
βούλεσθαι πορίζεσθαι λύσεις. δύω γὰρ
τούτω θεὼ περιέρχεσθον ἅπαντα τὰ
τῶν ἀνθρώπων, νέμεσις καὶ δίκη. οὐκ ἐῶσαι
μεῖζον τῆς φύσεως φρονεῖν, ἀλλὰ ῥαδίως
μικροὺς ἐκ μεγάλων ποιοῦσαι, ἐάν τις αὐ-
τῶν μὴ ποιῆται λόγον. καὶ τοῦτό σοι τὸ πα-
ράδειγμα ἐγγύθεν. ὃς σοῦ τότε ἐφρόνησε μεῖ-
ζον, τίνος οὐκ ἔλαττον φρονεῖ νῦν. ἡγεῖσθαι
δὲ χρὴ, λόγῳ μὲν ἀκούειν ταῦτα παρ' ἡμῶν.
τῇ δὲ ἀληθείᾳ καὶ τοῖς γιγνομένοις ἕκτορα
πρεσβεύειν ἢ διαλέγεσθαί σοι. ὃς τὰ μὲν ἄλ-
λα ὅσα ὑβρίζει καὶ προπηλακίζει, τί τις ἂν
λέγοι. σὲ δὲ ἀπειλεῖ καθεύδοντα λήψεσθαι.
πάντως δὲ οὐδὲ τὸν Δάρδανον τὸν ἑαυτοῦ
πρόγονον. οὐδ' ἂν εἶναι χείρω τοῦ αἰακοῦ τοῦ
σοῦ. σέ τε σκήπτεσθαι τὴν μῆνιν. τὸ δὲ ἀλη-
θὲς αὐτὸν ὀρρωδεῖν. ἃ πῶς ἀνεκτὰ ἀκούειν
ἐμοί. τίς ὑπὲρ σοῦ τούτων λήψεται δί-
κην. οὐκ ἀναστήσῃ πρὸς θεῶν; οὐ δὴ κεραυνεῖς
ὅτι μὴ πάλαι; οὐχ ὅσον τοῦ χρόνου προεῖται,
ζημίαν θήσῃ; οὐκ εἰ δεῖ καὶ τῆς κόρης ἕνεκα ὀρ-
γισθῆναι, εἰς τοὺς ἔρωτας ἀφήσεις τὸν θυμόν, τοὺς

ἀπάν

ἁπάντων τούτων αἰτίους. εἰ γὰρ ἐκεῖνοι
μηδὲν παρεκίνησαν ἐξ ἀρχῆς, τί τῶν πάν-
των ἂν ἢ μεῖζον ἢ ἔλαττον ἐνταυθοῖ συνέβη
δυσχερές. ἐνθυμοῦ δὲ ὅτι πηλεὺς μέσος αἰα-
κοῦ καὶ σοῦ. αἰακοῦ ἐκείνου, εἰς ὅν ποτ' ἦλθε
τὰ τῶν ἑλλήνων πράγματα. σοὶ δ' ὑπάρχει
καὶ τοῦτο ὡς κάλλιστα. μιμούμενος γὰρ τὴν τοῦ
προγόνου γνώμην, ὑπερβαίρεις τῷ σχήματι.
ὁ μὲν γὰρ δεξάμενος, ὤνησε. σὺ δὲ ἔργῳ βοη-
θήσας, ἐκπλήσεις τὰς ἁπάντων εὐχάς.
κἀκεῖνα ἔτι πρὸς τούτοις λογίζου. ἔξιμεν
δὴ αὐτίκα μάλα ἐκ τῆς σκηνῆς. ποίοις προσ-
σὶν ὦ πρὸς τοῦ διός, εἰ μὴ σοι ταῦτα συνδό-
ξειε. τίνας λόγους ἐροῦμεν ἀπελθόντες. ἢ
ποίας ἀποκρίσεις ἀποκρινούμεθα. καραδο-
κοῦσι δὲ δήπου πάντες. εἰ ἄσμενοι προσδε-
χθέντες ἄλλος ἀλλαχόθεν πεύσονται, τί χρὴ
πρὸς αὐτοὺς λέγειν. ἀπόκειναι. πεῖσον μεθ'
ἡμῶν τῷ διὶ τῷ σωτῆρι. μὴ τὴν τελευταίαν
τοῦ νῦν εἶ. ἀλλ' αἰσχυνθεὶς τήν τε χρείαν τὴν κοι-
νὴν καὶ τοὺς πρέσβεις ἡμᾶς, καὶ τῆς πρεσβείας τὴν ὥ-
ραν νύκτα ταυτήν. ἢ καὶ ἄστρα ταυτί. καὶ θεοὺς καὶ ἥρω-
ας τοὺς κοινοὺς τῶν ἑλλήνων, ἐκλῦσαι τὴν ὀργὴν ὥσπερ
νόσον: φάνηθι τοῖς βαρβάροις ἅμα τῷ ἡλίῳ:

ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΛΙΒΑΝΙΟΥ.

Ὅτε πρῶτον ὑμᾶς εἶδον ἐπὶ τὰς θύρας ἥκοντας ὦ σοφώτατε ὀδυσσεῦ, ἡγησάμην οὐδέποτε κοινωνοὺς ἀφῖχθαι μοι τῆς ἐφ' οἷς ὑβρίσθην ὀργῆς, καὶ τοῦ γε λοιποῦ μεθ' ἡμῶν συνδιατρίψειν, τῆς ἀγαμέμνονος βουλείας εἰσάπαξ καταγνωκότας. καὶ μὰ τοὺς θεοὺς, οὐ τὸ νῦν ἐπὶ τούτοις ἥκειν ὑμᾶς θαυμαστὸν ἐποιούμην. ἀλλὰ μᾶλλον ὅτι μὴ πάλαι μετέστητε, τοῦτ' ἐθαύμαζον. ἐπεὶ δὲ καὶ τῶν λόγων ἤκουσα τῶν καλῶν καὶ πολλῶν, καὶ τὴν ὑπὲρ τῶν ἠδικηκότων ἐθεασάμην σπουδὴν, καὶ τὴν κατ' ἐμοῦ τοῦ τὰ δεινότητα πεπονθότος τέχνην, καὶ ὅτι με καθάπερ παῖδα προσεδόκησας οἰχήσεσθαι λαβὼν, νῦν πλέον ἢ πρότερον εἰ καὶ παράδοξον εἰπεῖν ἤλγηκα. τὸ γὰρ μηδὲ νοῦν ἔχειν δοκεῖν, ἀλλ' ἕτοιμον εἶναι πρὸς ἀπάτην, ὅτου τις ἂν εἴποι δεινοῦ τοῖς γε

οὐκ

οὐκ ὄντως ἀνοήτοις δεινότερον. ἐγὼ δέ σε ἠξίουν φάσκοντα συνέσει νικᾶν, μὴ τὸ πᾶσι πρόδηλον ἀγνοεῖν, ὅτι καὶ τῇ δεινότητι καὶ τῇ ῥώμῃ καὶ τῇ τῶν πολεμικῶν ἐμπειρίᾳ καὶ ταῖς ἄλλαις δυνάμεσιν, οὐκ ἐπὶ τοὺς οἰκείους χρῆσθαι νόμος, ἀλλ᾽ οὗ δεῖ, τῶν ἐχθρῶν πλεονεκτεῖν· ταύτης τοίνυν τῆς ῥητορείας, ἕτερος ἦν ὁ καιρὸς, ἡνίκα ἦλθες εἰς τοὺς τρῶας ὀδυσσεῦ μετὰ τοῦ μενέλεω τὴν ἑλένην ἀπαιτήσων.. νῦν δὲ ἐκείνοις μὲν οὕτως ἔδοξας εἶναι πιθανὸς, ὥστε μικροῦ λαβόντες ἀπέκτειναν ἄν, εἰ μὴ παρελθὼν ἀντήνωρ ἐξῃτήσατο. τὰς δὲ ἡμετέρας διαλλαγὰς, πάντως που τοῖς ὑβρικόσιν ἐπηγγελμένος ἥκεις. οὕτω φαυλοτέρους ἡμᾶς τῶν βαρβάρων ὑπείληφας· πάντων δέ μοι δοκεῖς ἐναντιώτατον πρᾶγμα ποιεῖν· τὴν μὲν γὰρ φιλοτησίαν προπίνων, χαῖρε προσεφώνησας. λέγεις δὲ ἐξ ὧν ἀνάγκη τὸν ἀκούοντα λυπεῖσθαι· πείθειν μὲν γὰρ ἐπιχειρῶν, οὐκ ἂν ἔχοις μὴ μεμνῆσθαι τῶν ἔμπροσθεν. μεμνημένος δὲ τῶν ἔμπροσθεν, οὐκ ἔστι σοι μὴ τὸν πεπονθότα λυπεῖν. καὶ τί λέγω τῶν ἔργων. πρὸς αὐτὸ τοὔνομα τοῦ πρεσβευομένου ταράττομαι. σὺ δὲ ἐν ἀγα-

τούτων οὕτως ἐχόντων, ὅμως τὰ δέοντα
βουλεύσασθαι. μάλιστα μὲν γὰρ ἔγωγε φαίην
ἂν τὴν μητέρα σου ποιεῖσθαι τούτοις συγκα-
τατίθεσθαι τοῖς λόγοις. ἐπεὶ καὶ ὁ πατὴρ
καὶ ὁ διδάσκαλος οὕτως ἐπαίδευόν σε πειρώ-
μενοι. ἐπεὶ ἐνταῦθα δὴ καὶ τὸ πάνδεινόν ἐστιν,
εἰ παρ' αὐτοὺς μὲν τοὺς λόγους καὶ τὴν ἀκοὴν
οὕτως ἐρρωμένως ἔχεις, ὥστε τὴν εὐδοξίαν,
καὶ τὸ καλόν, πρὸ τῆς ἀδοξίας καὶ τοῦ γήρως
αἱρεῖσθαι. ἐπειδὴ δὲ ὁμολογήσεις αὐτῇ περὶ
τῆς ἀμείνονος μοίρας, πάλιν ἐξ ἀρχῆς ἐπρος
κυνήσῃ. καὶ τότε μὲν καὶ τῆς ψυχῆς τοῦ σαυτοῦ πλείο-
νος ἄξιον ἡγοῦ τὸ στρατόπεδον. νῦν δὲ οὐδὲ
τῆς κόρης ἀντάξιον. μᾶλλον δὲ ἑνὸς τῶν πε-
ρὶ τὴν κόρην συμβάντων. οὕτως μετ' ἂν ἀμ-
φοτέρων δόξαις τὴν παῖδα τιμιωτέραν ἡ-
γεῖσθαι καὶ σαυτοῦ καὶ τῶν ἀχαιῶν. πῶς γὰρ
οὐ καὶ σαυτοῦ. εἰ τοῦ μὲν σώζεσθαι, κρεῖττον
τὸ εὐδοξεῖν. τοῦ δὲ εὐδοξεῖν, ἡ κόρη. δόξαις δ'
ἂν οὕτω καὶ τὴν μητέρα ἐψεῦσθαι, καὶ σαυτὸν
ἐξελέγχειν, οὐκ ἐπισταμένως λογίζεσθαι.
τὸ μὲν γὰρ ἀπ' ἀρχῆς εὐθὺς ἑλέσθαι πλεῖν οἴ-
καδε καὶ ζῆν ἡσυχῇ, γνώμης κρείσσονος ἦν. τόδε
τοὺς μετὰ τῆς στρατείας κινδύνους ἑλόμενον,

μετὰ

μεταβαλέσθαι, περὶ τῶν αὐτῶν οὐ ταῦτα
γινώσκειν ἐστίν. ὅσοι πάντων ἥκιστα προσήκει,
ὅσῳπερ ἀνθρώπων μάλιστα ἀρετὴν ἀσκεῖς.
καὶ τὸ μὴ ψεύδεσθαι. οὐ γὰρ δή που τοὺς μὲν ἄλ
λα λέγοντας. ἀλλὰ ἢ γινώσκοντας αἰτιά
σῃ, τοὺς δὲ ὑπὲρ τῶν αὐτῶν ἄλλοτε ἄλλως
βουλευομένους. καὶ μὴ τοὺς αὐτοὺς ὄντας, ἐπαι
νέσῃ. σκέψαι δὲ ὅτι κἂν τοῖς στρατοπέδοις
μέχρι μὲν μὴ συνάγουσιν οἱ στρατηγοί, πᾶς
τις ὡς εἰπεῖν αὐτοκράτωρ ἐστὶν αὐτοῦ. ἐπει-
δὰν δὲ εἰς τάξιν καταστῇ, ταύτην δεῖ σώ-
ζειν, ἢ φαῦλον νομίζεσθαι. σὺ δ' οὐ βουλεύε
σθαι δόξεις περὶ ὧν αἵρεσις ἐστί σοι. ἀλλ' ἀνα
χωρεῖν ἀπὸ τούτων, ἃ προὔκεινας αὐτὸς.
καὶ μονονοὺ λιπεῖν τὴν τάξιν ὃ καὶ ὄναρ μοι
δοκεῖς σύ γε ἰδὼν, εἰκότως ἂν αἰσχυνθῆναι.
δίκαια καὶ καλὰ ταῦτα ἐγίγνωσκες, ὡς
οὐχ ἄριστος βίος ἀνθρώπῳ μακρὸς, εἰ μὴ προ
σέσται τὸ πράττειν τὰ δέοντα. ἐπεὶ δὲ τὴν
παῖδα οἱ κήρυκες ἄγοντες ᾤχοντο, ἢ δὴ διὰ
τοῦτο ἑτέρως ἔχει τὰ τῆς φύσεως; οὐ παύσῃ
δύο τῶν χειρίστων ὀνειδῶν ἀμφισβητῶν, δει
λίας καὶ ἀπιστίας, ὃ τῶν ἐχθρῶν οὐδεὶς πώ-
ποτε ὠνείδισε. καί τοι τίς ἂν ἦσθα πρὸς θεῶν

εἴ σοι ταῦτα ἀγαμέμνων ἀνετίθει; ἐγὼ δὲ
ἡγοῦμαι τὸ μὲν τέλος πάντων πραγμάτων
τῷ θεῷ χρῆναι καταλιπεῖν. ὥσπερ καὶ ἡ-
μᾶς ἅπαντας ὁρᾷς περὶ ἡμῶν αὐτῶν βεβου-
λευμένους. οὐ γὰρ ποικίλης γε τοῦτο δεῖται γε
μούσης, ἀλλὰ πᾶσι γε δῆλον, ὅτι εἰρήνη πο-
λέμου γέρας συμφορώτερον. καὶ ὅτι οὐκ ἔστι
μαχομένους καὶ κινδυνεύοντας, ἀναιμωτὶ
τὸν αἰῶνα διελθεῖν. ἀλλ' οὐ τούτου χάριν
τὰς πίστεις παραβαίνομεν. ἀλλ' ὧν μὲν ὁ δαί-
μων κύριος αὐτῷ καταλείπομεν. ὅσα δὲ
εἰς λογισμοὺς ἥκει καὶ τὸ βουλεύσασθαι, μη-
δαμοῦ τῶν χειρόνων ἑαυτῷ τιμᾶν, ἀνδρὸς
νὴ δί'. ἀλλ' οὐκ ἄξιά σου τὰ δῶρα. οὐδ' ἐκ-
πλήξει σε ὑπισχνούμενος. οὐδ' ἂν αὐτὴν τὴν
ψάμμον καὶ τὴν κόνιν παρέλθῃ τῷ πλήθει.
ἄριστά γε ὦ γενναῖε. καὶ γνωρίζω τούτους
ἤδη τοὺς λόγους. ἐγὼ δὲ οὐ τῶν χρημάτων
ἕνεκα συμβουλεύω σοι βοηθεῖν τοῖς ἀχαι-
οῖς. πόθεν. μὴ δέ ποθ' οὕτω σμικρῶς ἴδοι-
μι τὰ σά. ἀλλὰ ὑπὲρ αὐτοῦ τοῦ δικαίου,
καὶ τοῦ προσήκειν οὕτω ποιεῖν. ἀλλὰ τὰ
μὲν χρήματα, φιλίας τινὶ συμβόλῳ δέ-
ξασθαι. εἴ τε καὶ χαίρειν ἐᾷς, οὐχὶ διοίσομαι.
καὶ περὶ τῆς κηδείας ταύτης ἐπὶ χολῆς

βουλεύσασθαι. μὴ δὲ γὰρ ἂν οὕτω σε ἁρπάσαι πῶς ἂν εἴην, εἰ ταῦτα συμβουλεύοιμι. ἡγεῖσθαι δ' ἐκεῖνον μὲν οὐκ ἀνελεύθερον εἶναι τῇ δόσει καὶ τοῖς ἐπαγγέλμασι. σαυτῷ δὲ ἕτερα εἶναι τὰ ποιοῦντα τὴν ἔξοδον. ποῖα ταῦτα, ἃ μικρῷ πρόσθεν αὐτὸς ἀπηρίθμεις πολλῶν χρημάτων καλλίω πράγματα. πῶς γὰρ οὐκ ἄτοπον καὶ ὑπερφυές, εἰ πρότερον μὲν τῶν ἀχαιῶν πρώτων ἡγούμενος, δώδεκα μὲν πόλεις κατὰ θάλατταν. ἕνδεκα δ' εἷλες κατ' ἤπειρον. οὐδὲν τῶν ἰδίων ὑπολογιζόμενος. οὐ πόνον. οὐ κίνδυνον. οὐκ ἀσχολίαν. οὐχ ἣν φιλτάτην εἶναι φῂς αὐτῷ ψυχὴν εἰ προήσει. καὶ τοσούτων εὐπορειῶν. καὶ τοσαύτης εὐδαιμονίας ἀπέδειξας κυρίους. νῦν δ' οὐδ' εἰς αὐτὴν τὴν σωτηρίαν αὐτοῖς ἐπαρκέσαι τολμήσεις. πόθεν ὦ πρὸς θεῶν ἐκτήσω τὴν κόρην, ἵνα τἄλλ' ἀφῶμεν, ἀφ' ὧν εὐεργετεῖς ἡμᾶς. οὕτω γοῦν καὶ τὴν λυρνησσὸν εἷλες ἐν τῷ πλήθει τῶν ἄλλων χωρίων. οὐκοῦν οὐ τὸ στράτευμα τῆς παιδὸς εἰκὸς εἶναι προσθήκην. ἀλλὰ τὴν παῖδα τοῦ στρατοπέδου καὶ τῶν ἄλλων πραγμάτων. ἁπάντων δὲ ἀτοπώτα-

του. εἰ ὁ μὲν χρύσης τὴν θυγατέρα ἀπολαμ-
βάνων, οὐ προήχθη περαιτέρω εὔξασθαι ὡς
πολεμίοις, ἀλλ' ἐπέπαυτο τῆς ὀργῆς. ἄν-
θρωπος βάρβαρος καὶ φύσει πολέμιος. καὶ κιν-
δυνεύσας καὶ περὶ τῆς σωτηρίας αὐτῆς. σὺ
δὲ αὐτήν τε ἀπολαμβάνων τὴν ἄνθρωπον.
καὶ πρὸς ἐκείνῃ τοσαύτας λαμβάνων. καὶ
πρὸς ταῖς γυναιξὶ, χρήματα. πόλεις. χώ-
ραν. συγγένειαν. ἃ θαυμάζειν δέον, οὐκ ἐᾷς,
μέμψασθαι δ' οὐκ ἔχεις, εἰς ἀεὶ μενεῖς ἐπὶ
τοῦ παροξυσμοῦ. κἀκεῖνος μὲν, συνεύξατο
τῷ θεῷ παῦσαι τὴν νόσον ἡμῖν. σὺ δὲ οὐ βου-
λήσῃ τὰ τοῦ πολέμου δύσκολα, ἀλλ' ὁ
μὲν ἐξ ἀμφοῖν ἐνεδείξατο τὴν δύναμιν τοῖς
ἀχαιοῖς, ἐκ τε ὧν καταρασάμενος πολλοὺς
διέφθειρε. καὶ ὧν εὐξάμενος ἅπαντας ἔσωσε,
σὺ δὲ ἀξιώσεις ἀπὸ θατέρου μόνου μιμήσα-
σθαι τὸν ἱερέα, καὶ ταῦτα ἀπὸ τῶν ἀπολλυ-
μένων. ἀλλὰ πολλῷ βέλτιον ἦν, τοῦ σώζειν
πάντας ἐνδείκνυσθαι τὴν ῥώμην, ἢ θάτερον
πράξαντα, τὸ λοιπὸν φυγεῖν. καὶ προσδοῦ-
ναι μὲν τὸ στρατόπεδον ἐπὶ τῷ κομίσασθαι
τὴν σεαυτοῦ, δεινὸν ἂν ἡγήσω. σῶσαι δὲ

οὐ δόξῃ

οὐ δόξει τὸ στρατόπεδον μετὰ σοῦ τὴν σεαυτοῦ κομίζεσθαι; ἀλλ' ὁ μὲν ἕκτωρ, πυρὶ καὶ σιδήρῳ πάντα ἐπέρχεται. καὶ μικρόν ἐστιν αὐτῷ σῶσαι τροίαν. σὺ δ' ἐν τῇ σκηνῇ μενεῖς, ᾄδων πρὸς λύραν; πότερον τὰ ἑτέρων ᾄδων μενεῖς; ἀλλ' ἄμεινον ἑτέροις τὰ σαυτοῦ παρασχεῖν ᾄδειν ὥσθ' χρηστῷ τινι. ἀλλὰ τὴν μῆνιν νὴ δι' ἣν μηνίεις, ταύτην ὑμνήσεις ὥσπερ θεόν; δέδοικα μὴ τῶν ἀχαιῶν ᾄδῃς ἐπιταφίους, οὕτως ἀωρὶ τοῦ παντὸς χρόνου μελῳδῶν. εἶτα φὴς εἶναι φιλότιμος, καὶ καταψεύδῃ σαυτοῦ. καί τις πρὸς θεῶν οὕτω παῖς ἐστιν, ὡς πεπεισθῆναι, ὡς ἀχιλλεὺς ἀγαπᾷ ζῶν. ἐπεὶ κατὰ ταῦτα ἔξω βελῶν ἐστιν, ὅτι οὐχ οἷόν τε ἀποθανόντα αἰσθῆναι. εἰ δὲ ἐπείου τοῦ φωκέως ἠκούομεν, ποίους ἄν τινας ἄλλους ἢ τούτους ἠκούομεν τοὺς λόγους. καίτοι τί λέγω. ἐκεῖνος πυκτεύων ἥδιον ἂν τεθναίη πρὶν ἐκστῆναι τινί. ταῦτα μὲν οὖν εἰς θερσίτην τρέποιτο. καὶ ὅστις ἐκείνῳ παραπλήσιος. σὺ δὲ ὦ τᾶν μὴ σκῶπτε. μηδὲ ἀντιποιοῦ κακίας, ἧς οὐδέν σοι προσήκει. οὔτε γὰρ ἡμᾶς πείσεις, οὔθ' ὡς ἐγῷμαι σαυτόν. ἀλλὰ καθελκύσας τὰς ναῦς ἀποπλέων

οἰχήσῃ. εἶτ' οὐκ αἰσχύνῃ τὰς νηρηίδας τὰς πρὸς μητρὸς συγγενεῖς, οὕτως ἀνομοίως πλέων τὴν θάλατταν νῦν ἢ πρότου; τότε μὲν δόξης ἀφορμὰς δύναμιν συλλέγειν περὶ στρατοπέδῳ. νυνὶ δὲ ἅπασι λελυμασμένος. πρὸς ποτέρων δέ σοι ταῦτα ἄξια τῶν συγγενῶν. πότερον τῶν θαλαττίων, ἢ τῶν κατ' ἤπειρον, οἵ ποτ' ἐλθόντες δεῦρο, οὐ πρότερον ἀπῆραν, πρὶν συνεξεῖλον περὶ πολεμάρχῳ. τί δὲ ἢ θήσῃ πρὸς θεῶν ὄνομα τῇ θυσίᾳ, ἣν ἄνειον θύσειν φῂς. πότερον χαριστήρια, ἢ τί καλεῖς αὐτήν. εἶτ' οὐκ αἰσχύνῃ, τοὺς θεοὺς αὐτοὺς μάρτυρας, τοσαύτης κακίας ποιούμενος, θύων ἢ σπένδων καὶ παιανίζων ἐπὶ ταῖς τῶν ἑλλήνων συμφοραῖς, φάσκων ἀπέχειν ἅπαντα παρ' αὐτῶν, ὁρῶν εἰς τὸ πεδίον μεστὸν νεκρῶν τῶν ὑπό σοι ταττομένων ἢ μέγαν οὐκ οἶδα πόσην ἄνω; τί δὲ ἔσται σοι τοῦ πλοῦ τὸ σχῆμα. ἤτις λόγος τῶν ἰδόντων ἢ τῶν ἀκουσάντων. ἀχιλλεὺς ἐπαναπλεῖ. ποῖα λάφυρα κομίζων. ἢ ποίας ἀπαρχὰς ἄγων. ἤ τι τῶν οἴκοι στεφανώσων, ἢ τῶν ἰδίων ἢ τῶν δημοσίων. καλὸν δὲ τῇ σκύρῳ νῦν προχεῖν. ἢ τί φήσεις πρὸς τὸν παῖδα τὸν

αὐτοῦ

ἑαυτοῦ. τί τῇ γυναικὶ, δόξεις εἶναι βελτίων
εἰπών. ἢ τί λέγε σκῦρον ἢ γυναῖκα. ἀλλὰ τί
φήσουσιν οἱ τρῶες. ἆρ' οὐ φεύγειν σε φοβούμε
νον, ὁρῶντα γε οὐδεμίαν σωτηρίαν ἐὰν μενεῖς.
ἄξιόν γε; οὐ γάρ; τὸ πριάμου καὶ νέστορος γῆρας
συντεθὲν τοιαύτης αἰσχύνης. ἀλλὰ ταῦ-
τα μὲν οὐ ποιήσεις μενεῖς δὲ ἀχρὶς ἂν ἐλθὼν
τὰς σὰς σκηνὰς τε καὶ ναῦς ὁ ἕκτωρ ἀφίκη
ται κτείνων πάντας ἑξῆς. τηνικαῦτα δὲ
αὐτοῖς δείξεις ὅστις εἶ. εἰ μέν σοι τοσοῦτον πε
ρίεστι, πῶς οὐκ αἰσχρὸν, ἐκεῖνον τὸν καιρὸν ἐᾶ
σαι γενέσθαι, καὶ μὴ πρὸ τῆς ἁπάντων σω
τηρίας τῇ περιουσίᾳ χρήσασθαι. ἀλλ' ὅταν
μηδεὶς λείπηται. εἰ δ' ἐργῶδες γίγνεται,
βοηθητέον ἡνίκ' ἔξεστιν. ἐγὼ δὲ ἀπιστῶ οὐδὲ
ἐκεῖνο γὰρ μὴ οὐ καὶ μόνον σε καὶ πρὸς ἅπαντας
τοὺς βαρβάρους ἱκανὸν εἶναι καὶ ἔτι κρείττω.
ἡγοῦμαι μέντοι δεῖν παντὶ τὸ τοῦ καιροῦ δια
φέρειν. οὐ μόνον κατὰ τοῦτο ὅτι ἄμεινον ὄντων
σοι τῶν θεατῶν καὶ μαρτύρων ἐπιδείξασθαι
τὴν ὑπερβολὴν ταύτην, ἀλλ' ἔτι καὶ κατ'
ἐκεῖνο, ὅτι τηνικαῦτα μὲν σαυτῷ δόξεις βοη
θεῖν. καὶ κατ' ἀνάγκας ἀμύνεσθαι. νῦν δὲ ὑ-
πὲρ τῶν κεκληκότων ἐξιέναι καὶ βοηθεῖν πρό

τούτοις. ὥστε οὐ μικρὸν κερδανεῖς παρὰ τὴν χάριν. ὅλως δὲ οὐκ ἔστι τοῦ πολέμου ταμίαν γενέσθαι καθ' ὅσον βούλει μέρος. ἀλλὰ πολλὰ γένοιτ' ἂν ὧν βούλει μετὰ ὧν οὐκ ἂν δέξαιο. πεσεῖταί τις καὶ τῶν πάνυ σοι κεχαρισμένων. καὶ τοὺς μὲν ἄλλους ἐῶ. ἀλλ' ἡμᾶς τουτουσὶ οὓς προσεῖπας φιλτάτους, καὶ οὓς ἀνέστης ἰδών. καὶ οἷς τὸν κρατῆρα προέστησας. καὶ προεῖπας ζωρότερον εἶναι, τί κωλύει καὶ ἡμᾶς ἄνευ κεῖσθαι τηνικάδε ὁμοῦ τοῖς ἄλλοις ἀναμεμιγμένους. καὶ μετὰ ὧν νῦν σπένδεις, ἀπὸ τούτων ῥυῆναι τὴν γῆν αἵματι. ἢ κρατῆρας ἐν ἕκτορος ἵστασθαι ἐπινικίους. καὶ παιᾶνας ᾄδεσθαι, σοῦ ζῶντος ὦ ζεῦ. τί δ' ἂν ἅμα ταῖς σκηναῖς ἐχομέναις, καὶ ταῖς ναυσὶν ἐμπεπρησμέναις. καὶ τὴν πολυπόθητον ταύτην ἀποσφάξωσιν. ἢ καὶ λαβόντες αἰχμάλωτον, αὖθις ἄγωσι πρὸς ἑαυτούς. ἣ καὶ νῦν αὕτη κεφάλαιον ἐστὶ πάντων τῶν πραγμάτων. ἡδέως δ' ἂν σου πυθοίμην. εἰ τότε αὐτὴν παραλαβὼν ἀγαμέμνων, ἀπέκτεινεν, ἢ καὶ παρὰ σοὶ μένουσαν, τί χρῆν αὐτὸν ποιεῖν νῦν. ἢ πόσα τὰ ὑποφόνια καταθέντα, δεομένους τυχεῖν. εἰ δὴ νῦν ζῶσαν τε

καθιςάντος. καὶ προσέτι ὀμνύντος ἃ μά-
λιςʼ ἂν σὺ βουληθείης, εἶτʼ οὐ παύσῃ. ἀλλʼ
εἰς τοσοῦτον ἥξεις ὀργῆς, ὥςʼ εἰ μὴ παρὰ
πάντων λήψῃ τὴν δίκην κατὰ ἔθνη καὶ
κατὰ πόλεις καὶ κατὰ σῶμα ἕκαςον, ἀβί-
ωτον ἡγήσῃ τὸν βίον σεαυτῷ. ὅρα μή ποτʼ αὐ-
τὴν τὴν παῖδα μισήσῃς. ὅταν δʼ αὐτὴν δὴ
φθαρῇ πανσυδὶ τὸ ςρατόπεδον. βούλομαι
δέ σοι καὶ τοῦ διδασκάλου χείρωνος λόγον
εἰπεῖν, ὅν ποτʼ ἐν τῷ πηλίῳ διελέχθη πρός
τινα τῶν ἀπʼ αἰτωλίας. θυμοῦ γὰρ ἔφη με-
τρίου μὲν, οὐδὲν ἂν κάλλιον ἀνθρώπῳ γενέ-
σθαι. τοῦ δὲ ὑπερβάλλοντος οὐδὲν αἴσχι-
ον. ὃς τοὺς μὲν ἐχθροὺς ἀντιλυπήσας, ἀ-
πήλλακται. τὸν δὲ ἔχοντα, ἀεὶ καὶ συνε-
χῶς ἀπόλλυσι. σὺ δὲ μήτε ἐργάσῃ περαιτέ-
ρω μηδὲν, μήτε αὐτὸς πάθῃς. ἐνθυμοῦ δὲ
ὅτι πᾶσι πράγμασιν ὥσπερ ὅρους ἡ φύσις ἐςή-
σατο. καὶ οὐδέν ἐςιν ἀθάνατον τῶν ἐν ἀνθρώ-
ποις οὐ πόλεμος. οὐκ εἰρήνη. οὐ χάρις. οὐκ
ὀργή. οὐκ ἄλλο τῶν πάντων οὐδέν. ἡ τῆς
μὲν φιλίας τῆς ὑπαρχούσης σοι πρὸς
τὸν βασιλέα εὑρέθη. τῆς δὲ ὀργῆς οὐ φανεῖ-
ται πάλιν. καὶ μὴν πολὺ βέλτιον τὰς φι-

λίας ἀθανάτους ἀξιοῦν εἶναι. ἢ κείνων ἐρχο-
μένων ὑπὸ τὴν τύχην, τῆς ἔχθρας μὴ
βούλεσθαι πορίζεσθαι λύσεις. δύο γὰρ
τούτω θεὼ περιέρχεσθον ἅπαντα τὰ
τῶν ἀνθρώπων, νέμεσις καὶ δίκη. οὐκ ἐῶσαι
μεῖζον τῆς φύσεως φρονεῖν, ἀλλὰ ῥαδίως
μικροὺς ἐκ μεγάλων ποιοῦσαι, ἐάν τις αὐ-
τῶν μὴ ποιῆται λόγον. καὶ τοῦτό σοι τὸ πα-
ράδειγμα ἐγγύθεν. ὃς σοῦ τότε ἐφρόνησε μεῖ-
ζον, τίνος οὐκ ἔλαττον φρονεῖ νῦν. ἡγεῖσθαι
δὲ χρὴ, λόγῳ μὲν ἀκούειν ταῦτα παρ' ἡμῶν.
τῇ δὲ ἀληθείᾳ καὶ τοῖς γιγνομένοις ἔκτορα
πρεσβεύειν ἢ διὰ λέγεσθαί σοι. ὃς τὰ μὲν ἄλ-
λα ὅσα ὑβρίζει καὶ προπηλακίζει, τί τις ἂν
λέγοι. σὲ δὲ ἀπειλεῖ καθεύδοντα λήψεσθαι.
πάντως δὲ οὐδὲ τὸν δάρδανον τὸν ἑαυτοῦ
πρόγονον. οὐδ' ἂν εἶναι χείρω τοῦ αἰακοῦ τοῦ
σοῦ. σέ τε σκήπτεσθαι τὴν μῆνιν. τὸ δὲ ἀλη-
θὲς αὐτὸν ὀῤῥωδεῖν. ἆ πῶς ἀνεκτὰ ἀκούειν
ἐμοί. τίς ὑπὲρ σοῦ τούτων λήψεται δί-
κην. οὐκ ἀναστήσῃ πρὸς θεῶν; οὐ δυσχερανεῖς
ὅτι μὴ πάλαι; οὐχ ὅσον τοῦ χρόνου προεῖτο,
ζημίαν θήσῃ; οὐκ εἰ δεῖ καὶ τῆς κόρης ἕνεκα ὀρ-
γισθῆναι, εἰς τοὺς τρῶας ἀφήσεις τὸν θυμὸν, τοὺς

ἀπαν

ἁπάντων τούτων αἰτίους. εἰ γὰρ ἐκεῖνοι
μηδὲν παρεκίνησαν ἐξ ἀρχῆς, τί τῶν πάν-
των ἂν ἢ μεῖζον ἢ ἔλαττον ἐνταυθοῖ συνέβη
δυσχερές. ἐνθυμοῦ δὲ ὅτι πηλεὺς μέσος αἰα-
κοῦ καὶ σοῦ. αἰακοῦ ἐκείνου, εἰς ὅν ποτ' ἦλθε
τὰ τῶν ἑλλήνων πράγματα. σοὶ δ' ὑπάρχει
καὶ τοῦτο ὡς κάλλιστα. μιμούμενος γὰρ τὴν τοῦ
προγόνου γνώμην, ὑπερβαίρεις τῷ σχήματι.
ὁ μὲν γὰρ εὐξάμενος, ὤνησε. σὺ δὲ ἔργῳ βοη-
θήσας, ἐκπλήσεις τὰς ἁπάντων εὐχάς.
κἀκεῖνα ἔτι πρὸς τούτοις λογίζου. ἔξιμεν
δὴ αὐτίκα μάλα ἐκ τῆς σκηνῆς. ποίοις πο-
σὶν ὦ πρὸς τοῦ διός, εἰ μὴ σοὶ ταῦτα συνδό-
ξειε. τίνας λόγους ἐροῦμεν ἀπελθόντες. ἢ
ποίας ἀποκρίσεις ἀποκρινούμεθα. καραδο-
κοῦσι δὲ δήπου πάντες. εἰ ἄσμενοι περι-
χυθέντες ἄλλος ἄλλοθεν πεύσονται, τί χρὴ
πρὸς αὐτοὺς λέγειν. ἀπόκριναι. πεῖσον μεθ'
ἡμῶν τῷ διῒ τῷ σωτῆρι. μὴ τὴν τελευταίαν
τοῦ νῦν ἐστί. ἀλλ' αἰσχυνθεὶς τήν τε χρείαν τὴν κοι-
νὴν ἐφ' ἣν οἱ πρέσβεις ἡμᾶς, καὶ τῆς πρεσβείας τὴν ὥ-
ραν νύκτα ταύτην. ἢ καὶ ἄστρα ταυτί. καὶ θεοὺς καὶ ἥρω-
ας τοὺς κοινοὺς τῶν ἑλλήνων, ἐκδὺς τὴν ὀργὴν ὥσπερ
νόσον. φάνηθι τοῖς βαρβάροις ἅμα τῷ ἡλίῳ.

οὐκ ὄντως ἀνοήτοις δεινότερον. ἐγὼ δέ σε ἠξίουν φάσκοντα συνέσει νικᾶν, μὴ τὸ πᾶσι πρόδηλον ἀγνοεῖν, ὅτι καὶ τῇ δεινότητι καὶ τῇ ῥώμῃ καὶ τῇ τῶν πολεμικῶν ἐμπειρίᾳ καὶ ταῖς ἄλλαις δυνάμεσιν, οὐκ ἐπὶ τοὺς οἰκείους χρῆσθαι νόμος, ἀλλ᾿ οὗ δεῖ, τῶν ἐχθρῶν πλεονεκτεῖν. ταύτης τοίνυν τῆς ῥητορείας, ἕτερος ἦν ὁ καιρὸς, ἡνίκα ἦλθες εἰς τοὺς τρῶας ὀδυσσεῦ μετὰ τοῦ μενέλεω τὴν ἑλένην ἀπαιτήσων.. νῦν δὲ ἐκείνοις μὲν οὕτως ἔδοξας εἶναι πιθανὸς, ὥστε μικροῦ λαβόντες ἀπέκτειναν ἂν, εἰ μὴ παρελθὼν ἀντήνωρ ἐξητήσατο. τὰς δὲ ἡμετέρας διαλλαγὰς, πάντως που τοῖς ὑβρικόσιν ἐπηγγελμένος ἥκεις. οὕτω φαυλοτέρους ἡμᾶς τῶν βαρβάρων ὑπείληφας: πάντων δέ μοι δοκεῖς ἐναντιώτατον πρᾶγμα ποιεῖν: τὴν μὲν γὰρ φιλοτιμίαν προτείνων, χαῖρε προσεφώνησας. λέγεις δὲ ἐξ ὧν ἀνάγκη τὸν ἀκούοντα λυπεῖσθαι: πείθειν μὲν γὰρ ἐπιχειρῶν, οὐκ ἂν ἔχοις μὴ μεμνῆσθαι τῶν ἔμπροσθεν. μεμνημένος δὲ τῶν ἔμπροσθεν, οὐκ ἔστι σοι μὴ τὸν πεπονθότα λυπεῖν. καὶ τί λέγω τῶν ἔργων. πρὸς αὐτὸ τοὔνομα τοῦ πρεσβευομένου ταράττομαι. σὺ δὲ ἐν ἀγα-

μέμνονος ἔφης ἑςιαθεὶς, ἐκεῖθεν δ' ὁρμηθεὶς ὡς ἡμᾶς ἐλθεῖν, ὡς ἂν μάλιςα ἀνιάσαις. θαυμάζω δὲ ὅπως οὐ συνίετε, τῇ πρεσβείᾳ μεῖζω ποιοῦντος οὐ λύοντος τὰ ὑβρίσματα. δείκνυται γὰρ εἰς οἷον ὄντα ὑβρίζετε, ὃν μόνον ἡγεῖσθαι σωτῆρα. καὶ δι' ὧν ἐμὴ λάβοιτε βοηθὸν ἀπολεῖσθαι πεπιςεύκατε, τῇ παροινίᾳ κατὰ τοῦ πρώτου τῶν ἑλλήνων κεχρῆσθαι μεμαρτυρήκατε. ὥςε ἐν οἷς ἱκετεύει, παροξύνει. καὶ ταῖς δεήσεσιν ἐλέγχει τὰ πονηρεύματα. ἡ μονονοὺ βοᾷ πρὸς ἅπαντα. ὡς ἐμοὶ μόνῳ τῶν ὑβριςῶν, οὐκ ἔςι συγγνώμη. καὶ γὰρ ὕβρικα καὶ ὃν ἥκιςα ἐχρῆν. ἐγὼ δὲ μάλιςα μὲν ὤμην δεῖν μηδένα τῶν συμπεπλευκότων προπηλακίζεσθαι. μὴ δ' εἰ τῶν πολλῶν

„ εἴη καὶ τῶν ἔλαττον ἰσχυόντων. αὕτη γὰρ ἡ προ

„ θυμία, κἂν ἀπῇ τὸ κατορθοῦν, τιμῆς ἀξία. εἰ δ' οὖν ἀνάξιον ἡγεῖτο τῆς αὑτοῦ τύχης τὸ σωφρονεῖν, καὶ τοῦτ' εἶναι κέρδος τῆς βασιλείας τὸ κακῶς τὸν πλησίον ποιεῖν, εἰς τοὺς σκευοφόρους καὶ τελοῦντας εἰς δῆμον, καὶ φρονήματος ἐςερημένους, εἰς τούτους ἀσελγαίνειν ἐχρῆν. εἰ περ ἄρα καὶ ὅλως ἐχρῆν οὐ κατὰ ςρατηγοῦ μεθύειν, καὶ τούτου φίλου τοῖς θεοῖς, καὶ κυρίου τὰς ναῦς εἶναί τε καὶ

διεφθάρθαι, κατὰ τὸν σὸν ὀδυσσεῦ λόγον. ἐμοὶ μὲν οὖν ἤρκει τὰ πράγματα, καὶ τὰ τῶν πολεμίων πάθη, καὶ πρὸ τῶν ἄλλων ἕκτωρ. τότε μὲν τρέμων. νῦν δὲ φοβῶν. καὶ οὐδὲν ἐδεόμην λέγειν, ἃ τοῖς ἔργοις ἐπεδειξάμην. τοῖς γὰρ εἰκότως μέγα φρονοῦσιν, οὐ παρ' αὐτῶν ἐπαίνους, ἀπὸ δὲ τῶν πεπραγμένων εἶναι δεῖ τὴν μαρτυρίαν. ἐπεὶ δὲ βουλόμενον σιωπᾶν οὐκ ἐᾶς ὀδυσσεῦ, πολέμου μεμνημένος πρὸς ἄνδρα κιθαρίζειν ἀντὶ τοῦ πολεμεῖν ἠναγκασμένον, ἀκούσατε ὦ παρόντες ἀνθ' οἵων οἷα κεκόμισμαι. καὶ ταῖς εὐεργεσίαις ἀντίθετε τὰς ἀμοιβάς. εἴσεσθε γὰρ εἴτ' ἔχει λόγον τὸ μὴ συμμαχεῖν, εἴτε καὶ ἄλλως ἀγανακτῶ. εἰ γὰρ ἐθέλοιτε σκέψασθαι τί τὸ ποιῆσαν ἐστὶ τοὺς ἀχαιοὺς ἐπὶ τρῳάδος ἱδρῦσθαι γῆς, καὶ μὴ τοῦτ' αὐτὸ πρῶτον ἀγνοεῖν τὴν χώραν τῶν λελυπηκότων. καὶ τίς ἡ πριάμου πόλις, καὶ ποῖ δεῖ προσβαλεῖν, καὶ ποίαν κακοῦν, ἐμὲ τουτονὶ τὸν ἄτιμον εὑρήσετε, καὶ τὸ δόρυ τὸ πατρικόν. ὡς γὰρ ἀνήχθημεν ἀπὸ τῆς αὐλίδος, ἀγνοίᾳ τῶν τόπων προσπεσόντες τῇ μυσῶν, τὴν ἀρχὴν καταθέομεν τηλέφου τὴν

Ἀλεξάνδρου νομίζοντες. αἰσθόμενος δὲ ὁ Τή
λεφος, εὐθὺς ἐν ὅπλοις ἦν. καὶ μετὰ τῆς δυ
νάμεως ἀπήντα. μάχης δὲ καρτερᾶς γινο
μένης, καὶ τοῦ πράγματος προϊόντος, ὁ τῶν
Μυσῶν ἡγούμενος, ὑπ' ἐμοῦ τιτρώσκεται.
καὶ οἱ μὲν ᾤχοντο φεύγοντες. ἡμεῖς δὲ γνόν
τες τὴν πλάνην, ἀποπλεύσαντες, αὖθις
ἦμεν ἐν Βοιωτίᾳ. ᾗ τῷ συμβεβηκότι τὸ στρά
τευμα διελέλυτο. χρόνου δὲ ἐγγινομένου,
καὶ τῆς ἀγνοίας μενούσης, κομίζεται Τήλε
φος εἰς Δελφοὺς τῷ θεῷ χρησόμενος ὑπὲρ
τοῦ τραύματος. ὡς τῆς τῶν ἰατρῶν τέχνης
οὐκ ἀρκούσης τῷ πάθει. ὁ δὲ ἀνεῖλε παρὰ
τῷ τρώσαντι καὶ τὴν ἴασιν ζητεῖν. ταῦτ' ἀ
κούσας εἰς Ἄργος ἔρχεται, καὶ τῶν ἀλγηδό-
νων παύεται, ταῖς ναυσὶν ὁμολογήσας ἡγή
σεσθαι. καὶ γίνεται τῆς ἰατρείας μισθὸς, ἡ
τῆς ἀγνοίας τῶν τόπων ἀπαλλαγή. αὕτη
πρώτη καὶ μεγίστη τῶν εὐεργεσιῶν, γνῶναι
τὴν Ἀλεξάνδρου πατρίδα, καὶ μὴ καθάπερ ἐν
μανίᾳ τὸν παραπεπλωκότα βλάπτειν ἀντὶ
τῶν αἰτίων. οὐκοῦν τῶν μὲν ἄλλων ἕκαστος,
τοῖς αὑτοῦ πράγμασι σεμνύνεται. ἐγὼ δὲ
τοῖς τε ἐμαυτοῦ καὶ τοῖς ἁπάντων. καὶ γὰρ

τὰ τοξοτῶν καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέ-
ων, καὶ ὅλως ὅπερ ὠφέληκέ τι τὸ κοινὸν, πάν
τα ταῦτ' ἐστὶ τοῦ δεῦρο κεκομικότος τὴν στρα
τείαν. εἰμὶ δὲ οὗτος ἐγὼ διὰ τὴν ἀφορμὴν ἐν
δοῦναι. εἰ τοίνυν τῶν μὲν νῦν εἰργασμένων οὐ
δὲν ἂν ἐπέπρακτο μὴ τὴν ἀρχὴν ἐλθόντων,
τοῦτο δὲ οὐκ ἂν ὑπῆρξε μὴ τοῦ Τηλέφου τρω
θέντος, ἐτρώθη δὲ ὑφ' ὅτου περ ἴστε, τοῦ τὴν
ὑπόθεσιν παρασχόντος, καὶ τὰ ἔργα γίνε
ται. παρ' ἀμφοτέρων τοίνυν ὀφείλεταί μοι
χάρις. τῶν τε ἠριστευκότων αὐτῶν, καὶ τῶν
δοκούντων ἐφεστάναι τοῖς πράγμασι. τῶν μὲν
αὐτὶ τῆς ἀρετῆς ἣν ἐπεδείξαντο. τῶν δὲ αὐ
τὶ τῆς παρὰ πάντων ὠφελείας. οὐ τοίνυν
τοῦ μὲν ἐλθεῖν τὴν στρατείαν αἴτιος ἐγενόμην.
ἐπεὶ δὲ ἀφικόμην ἀρκεῖν ἡγησάμην, ἢ ταῦ
τα τοῖς ἄλλοις ποιεῖν, ἢ μικρῷ διὰ τοὺς ἀλ
λους ὑπερβάλλειν. ἀλλ' ὁρῶν τοῖς μὲν τρω
σὶν ἐν τοῖς περιοίκοις τὴν ἰσχὺν οὖσαν τοῦ πο
λέμου. καὶ τῇ τούτων εὐνοίᾳ μεγάλην ὑπάρ
χουσαν αὐτοῖς ἀποστροφὴν, τάς τε νήσους
τὰς ἐπικειμένας, καὶ τῆς ἠπείρου πόλεις οὐκ
ὀλίγας. τὰ δὲ ἡμέτερα τῇ πενίᾳ πρὸς ἀσθέ
νειαν ἥκοντα, ταῦτα ἐνθυμηθεὶς, κύκνου μὲν

ἤδη πεπλωκότος. τῶν δὲ τρώων εἰς τὸ τεῖ-
χος κατακλεισθέντων, ἀδείας δὲ οὔσης
ἐνδιατᾶσθαι διὰ πλείω, νῦν μὲν πεζαῖς στρα-
τείαις. νῦν δὲ ταῖς ναυσὶ χρώμενος, πολεμικό
πλω τὴν τῶν ἐχθρῶν συμμαχίαν. καί μοι τὰς
πόλεις ἐξαιρεῖθμει τὰς ἠρημένας. εἷλον φώ
καιαν. κολωνάς. σκῦρον. θήβας. πήδας.
κλαζομένας. τῆνον. κύμην. τὴν χρύσαν. τὴν
κίλλαν, τὴν τένεδον, πύῤῥαν. λέσβον ὅλην.
μακρὸν ἐπεξελθεῖν λόγῳ τὰς πόλεις, ἃς ἐ-
γὼ παρεστησάμην. καὶ σιωπῶ τρωίλον τὸν λυ
κάονα, καὶ βοῦς ἐξ ἴδης ἐληλαμένας. ἐντεῦ-
θεν τοῖς τρωσὶν ἀκριβὴς ἡ πολιορκία, διὰ
πάντ' ἐξηρημῶσθαι τὰ κύκλῳ. αἱ μὲν οὖν πό
λεις, εἰς ἔδαφος. ὁ δὲ πόνος ἐμός. τὰ δὲ χρή
ματα, κοινά. οὐκοῦν τῇ κύκνου μὲν τελευ-
τῇ, τὴν ἀπόβασιν τοῖς ἕλλησιν ἔδωκα. ταῖς
δὲ τῶν πόλεων ἁλώσεσι, τοὺς τρῶας συνέ-
στειλα. τῇ περιουσίᾳ δὲ τῶν χρημάτων.
τὴν προσεδρείαν ἐμήκυνα. οὐ γὰρ ἐνῆν ἐν ἐνδείᾳ
καὶ τροφῆς ἀπορίᾳ. μακρὸν οὕτω πόλεμον
διενεγκεῖν. ἐπεὶ καὶ τὴν χεῤῥόνησον οἱ γεωρ-
γοῦντες, τῶν μὲν ἤδη κατεσκαμμένων. τῶν
δὲ διὰ φόβῳ τὴν ἡσυχίαν ἀγόντων, κατὰ

πολ

πολλὴν ἀσφάλειαν περὶ τὰ ἔργα διέτει-
βον. ὥστε οὐχ ἧττον αἱ διὰ τῆς γεωργίας ἀφορ-
μαὶ τῶν ἀπὸ τοῦ πολέμου πόρων ἐμοὶ προσή-
κουσι. φέρε δὴ καὶ περὶ τῆς αἰτίας ὅθεν προ-
κεκρούκαμεν ἀγαμέμνονι μνημονεύσωμεν. οἴ-
μαι γὰρ εἰ καὶ μηδὲν πρότερον εὖ πεποιηκὼς τοὺς
ὁμοφύλους ἐτύγχανον, ἀλλ' ἁπάντων ἀρ-
γότατα καὶ ῥαθυμότητα περὶ πολέμῳ κε-
χρημένος, καὶ μηδὲν ἐποίουν βέλτιον, ἀπό-
γε ταύτης προσήκειν ἡμῖν ἰσοθέων ἀξιωθῆ-
ναι τιμῶν. σκοπεῖτε γάρ. εἶχεν ἀγαμέμνων,
τὴν χρύσου παῖδα λαβών. ὁ δὲ χρύσης ὄν-
τος, ἦν ἱερεὺς ἀπόλλωνος, βουλόμενος οὖν ἀ-
νασῶσαι τὴν θυγατέρα, πρὸς τὸ στρατόπε-
δον ἧκεν, οὔτε λύτρων φειδόμενος, περί τε
θεῷ δοθῆναι τὴν χάριν ἱκετεύων. ὁ δὲ μετεί-
ως καὶ καλῶς ὑπὲρ τῶν κοινῶν βεβουλευμέ-
νος, οὔτ' ἀφῆκεν, οὔτε πράως ἀπέπεμ-
ψεν. ἀλλ' ἠπείλησεν ἀποκτενεῖν εἰ μὴ φύ-
γοι. λῆρον εἶναι φήσας τὴν τοῦ θεοῦ συμμα-
χίαν. ἐμοὶ μὲν οὖν εὐθὺς δεινόντι τοῦτ' ἐ-
φαίνετο. καὶ μεγάλων ἀρχὴ συμφορῶν. οὔτε
γὰρ ἐκεῖνον μὴ κατεύξασθαι τῶν ἀχαιῶν εἰκὸς
ἦν, οὔτε μὴν τὸν ἀπόλλω μὴ συναλγήσειν

τῷ πρεσβύτῃ. τὸ δὲ μὴ δοκεῖν, οὔπω τῶν δεινῶν παρόντων, ἐξεπίτηδες συγκρούειν τὸν ἄνθρωπον τοῖς ἀχαιοῖς, ἐσιώπων. ἀλλ᾽ οὐκ ἔφθη παροινήσας εἰς τὸν ἀπόλλω, καὶ τὸ στρατόπεδον ἐξαίφνης ἀνήλισκε νόσῳ. καὶ τὸ ἔργον ἡμῖν ἦν, αἱ τῶν ἀπιόντων ταφαί. καὶ τῷ πολέμῳ κρατοῦντες, ἑνὸς ἀνδρὸς ἐφθειρόμεθα δυσεβείᾳ. ἔδει μὲν οὖν εἰ καὶ πάντες ὀλιγώρως εἶχον τῶν συμβαινόντων, καὶ τὸ καθ᾽ αὑτὸν ἕκαστος μόνον φροντίζων. τῆς κοινῆς κατημέλει σωτηρίας, ἀγαμέμνονα περιθεῖν ἄνω καὶ κάτω, καὶ πρὸς τὰς σκηνὰς ἰόντα τῶν ἐν τέλει, συγκαλεῖν, συνάγειν. δεῖσθαι. πάντα ποιεῖν. ὥστε τὴν λύσιν εὑρεθῆναι τοῦ κακοῦ. νῦν δὲ ὥσπερ τῶν πολεμίων ἀπόντων ἐποίουσας τοῖς νεκροῖς τὰς συνεχεῖς πυράς. καὶ συμφορὰς ἀκούων ἀλλοτρίας οὐ τὰς οἰκείας ὁρῶν, οὐ λόγον εἶπεν. οὐ σύλλογον ἐποίησεν. οὐκ ἀνέστησε σύμβουλον. οὐκ ἤρετο μάντιν. ἀλλὰ τοὺς μὲν ἀφῆκεν ἀποθνήσκειν, αὐτῷ δὲ ἱκανὴν εὐδαιμονίαν ἔκρινεν, εἰ τρυφᾶν ἐξείη. τί τοίνυν ἐχρῆν με πράττειν ὀδυσσεῦ, τοῦ λοιμοῦ μὲν ἐπικειμένου, τῶν δὲ καταλόγων κενουμένων, ῥαθυμοῦντος δὲ τοῦ

κρα

κρατοῦντος. σιωπῶντος δὲ νέστορος, ὃν ἤγαγεν εἰς τροίαν τὸ δοκεῖν δύνασθαι τὰ δέοντα παραινεῖν. ἐὰν ἔδει τὸ δεινὸν χωρεῖν καὶ μὴ ζητεῖν ὅπως στήσεται; ἢ τίς ἂν ἐμήνυσε τοῖς οἴκοι τὸν τρόπον τῆς τελευτῆς. οὐδὲ γὰρ ἄγγελον ἂν κατέλιπεν ἡ νόσος. ἀλλ' ἔδει σκοπεῖν ἥτις ἴασις ἔσται, ἢ φανῆναί τινα ὑπὲρ τῶν κοινῶν ἀτυχημάτων ἀχθόμενον; ἐφάνην τοίνυν τηνικαῦτα ἐγώ. καὶ παρελθὼν εἶπον οὐδὲν οὔτε προπετὲς, οὔτε ἀπαίδευτον. οὐ γὰρ ἰσχυρισάμην εὐθὺς ἐκ τῆς περὶ τὸν χρύσην ἀτιμίας τὸ στρατόπεδον νοσεῖν. ἀλλ' ὃ δίκαιον πάντων ἂν εἶναι φαίην πλὴν ἀγαμέμνονος, ᾤθην τοὺς μάντεις ἠξίουν καταφεύγειν. καὶ παρ' ἐκείνων μανθάνειν πῶς ἂν πριαίμεθα τοῦ λοιμοῦ τὴν λύσιν. καὶ τινων αἰγῶν ἢ θυσιῶν ἐμνημόνευον. ὁ δὲ χρύσης οὐκ ἦν ἐν τοῖς ἐμοῖς λογισμοῖς. καλούμενος δὲ ὁ κάλχας ὑπὸ τοῦ καιροῦ, λέγει τὰ παρὰ τῆς τέχνης. ὡς ὁ θεὸς παρώξυνται ἢ τιμωρεῖ τῷ πρεσβύτῃ. καὶ ζητεῖ τὴν κόρην. τί τοίνυν ἐπλημμέλουν δεῖξον ὀδυσσεῦ. ἠδίκουν φυλάττων ἀγαμέμνονι τὴν ἀρχήν; ὅτι τοὺς ἀρχομένους φυλάττων, ἐκείνῳ συνεῖχε τὸ

χῆμα. ἠδίκουν ἰδοὺ τὸν μάντιν ἄγων τὸ πρᾶ-
γμα; τί οὖν εἴπετο τῇ στρατιᾷ, μέλλων ἐν
τοῖς ἀπόροις ἄφωνος ἔσεσθαι. καὶ μὴν ἐπ' αὐ-
τῆς ὀργῆς ἐμαρτύρησεν ἀγαμέμνων ταῦτα
με σπεύδειν ἃ μάλιστ' ἂν αὐτὸς βούλοιτο.
,, τί γὰρ ἔφησε. βούλομ' ἐγὼ λαὸν σόον ἔμμε-
ναι ἢ ἀπολέσθαι. οὐκοῦν καὶ αὐτὸς σῶον εἶναι τὸν
στρατὸν ἐθέλων μᾶλλον ἢ ἀπολωλέναι, τὴν ἐκ-
κλησίαν συνῆγεν. πῶς οὖν ὑβριζόμην ὡς ἀδι-
κῶν, ὁ τὴν ἐπιθυμίαν ἀγαμέμνονι πληρῶν.
πῶς δὲ οὐκ αὐτὸς παρ' αὐτοῦ λαμβάνει δί-
κην, εἰ τὸ βούλεσθαι σώζεσθαι τὸν στρατὸν
ἀδικεῖν ἐστιν. ἐχρῆν γὰρ ἢ καὶ αὐτὸν ἀτιμοῦν
ἢ καὶ ἐμὲ θαυμάζειν. εἰ γὰρ μὴ κάλχας ἦν ὁ μνη-
σθεὶς τῆς γυναικὸς ἀλλ' ἐγώ. τί δεινὸν ἦν ἀ-
ποστάντα τῆς κόρης θαῤῥεῖν ὑπὲρ τοῦ στρα-
τοῦ. οὐ τιμωρίας ἀξίαν ἐδεδώκειν τότε γνώ-
μην ὀδυσσεῦ. ἀλλὰ καὶ στεφάνων. καὶ τιμῶν.
καὶ δωρεῶν. δῆλον δὲ ἐκ τοῦ παρόντος. τίς
γὰρ ἡ πρόφασις τουτωνὶ τῶν δωρεῶν. ἡ σωτη-
ρία τῶν ἑλλήνων. οὐκοῦν καὶ τότε τοὺς ἕλληνας
ἔσωζον, ὅπως ἀπαλλάξονται τοῦ λοιμοῦ
προνοῶν. ὥστε καὶ τότε τοῦ δικαίου νικῶντος,
,, ἐτιμώμην ἄν. οὐ γὰρ δὴ τὸ, σιδήρῳ μὲν πλη-
γέντα

γέντα ποιεῖν ἀφόρητον, λοιμῷ δὲ ἀπενεχ- ,,
θῆναι κοῦφον. ἀλλὰ τοσούτῳ τοῦτ' ἐκείνου ,,
χαλεπώτερον, ὅσῳ τὸ μὲν ἐπαινεῖται. τὸ δὲ ,,
οἰκτείρεται. τῷ γὰρ μὲν ὑπάρχει τι δόξης. ,,
τὸ δὲ σημεῖόν ἐστι τῆς τοῦ θεοῦ δυσμενείας. ,,
εἰ δὴ τὸ τοὺς πολεμίους ἀπώσασθαι δωρεῶν ἄξιον, τό γε λῦσαι τὸν λοιμὸν, πῶς οὐ μειζόνων. οὔκουν αὐτὶ τούτων ὑβρίζειν δίκαιος ἦν. ἀλλ' εἰ καὶ πρότερον ὑβρισμένος ἐτύγχανε, τούτων ἕνεκα διαλλάττεσθαι. ὁ δὲ ταῦτ' ἐν ἐγκλήμασιν ἐποιεῖτο, δι' ἃ καὶ παλαιὰ ἐχρῆν αἱρεῖν ἐγκλήματα. καὶ μὴν οὐδ' ἐκεῖνο δῆλον ὑπῆρχεν, ὡς μόνης τῆς χρυσηΐδος ὁ λοιμὸς ἀφέξοιτο. πότερον οὖν κρεῖττον ἦν καὶ λυσιτελέστερον μετὰ τῶν ἄλλων τεθνάναι τὴν κόρην, ἢ σῶσαί τε τοὺς ἄλλους καὶ αὐτὴν σεσῶσθαι. ἔτι τοίνυν εἰ μὲν ἐμοὶ παραχωρήσειν τῆς χρυσηΐδος ἔμελλεν ἢ αἴαντι. ἢ ἰδομενεῖ. ἢ σοι. ἢ ὅλως ἀνθρώπῳ τινὶ, οὐδὲ οὕτως μὲν ἐχρῆν ἀγανακτεῖν. εἰ τοῦ συμφέροντος ὁ λογισμὸς ἐνταῦθα ἦγεν. ἔδοξε δ' ἂν οὐκ ἔξω φύσεως ἀνθρωπίνης εἶναι τὸ πάθος. νῦν δὲ θεὸς ἦν ὁ τὴν ἄνθρωπον ἀπολαμβάνων. θεοῦ δὲ ἡττᾶσθαι, ποῦ λυπηρὸν ἢ τις αἰσχύνη. εἰ

ὃς τὸ σκῆπτρον ἐκέλευεν ἀποθέμενον ἐν ὑ-
πηρέτου μέρει διάγειν, οὐκ ἐχρῆν ἀγαπᾶν καὶ
ταῦτα νομίζειν καλόν τε καὶ γενναῖον ὅπερ ἐκεῖ-
νος προσέταττε; καὶ μὴν εἰ μὲν ἄκων ἠφίει
τὴν κόρην, ἐχθρὸς ἦν τῷ ἀπόλλωνι. εἰ δ' ἑ-
κὼν ἐνεβίβαζεν εἰς τὴν ναῦν, πῶς ἃ μεθ' ἡδο-
νῆς ἔπραττε, τούτων εἰσεπράττετο δίκην:
συλλογίσασθαι δὴ βούλομαι τὰς εὐεργεσί-
ας, καὶ διελθεῖν ἐν βραχεῖ. ἔδωκα σὺν ἡγεμό-
να, τῷ στόλῳ, τήλεφον. ἐτρεψάμην τοὺς ἀ-
νείργοντας τὴν ἀπόβασιν. ἐψίλωσα τὰς χώ-
ρας τῶν περιοίκων. μετήνεγκα τὸν πλοῦτον
εἰς ὑμᾶς. ἔπαυσα τὸν λοιμὸν διὰ τοῦ μάντε-
ως. τίνες οὖν αἱ τούτων ἀμοιβαί; ἐστέρημαι
τοῦ γέρως. ἀφήρημαι τὴν τιμήν. ὑπὲρ τοὺς
ἀτίμους ὕβρισμαι. ποῦ νῦν βρισηὶς ὀδυσσεῦ.
παρὰ τῷ πέμψαντι τὴν πρεσβείαν; οὐ γέ-
γονεν ἐκ τοῦ παντὸς χρόνου προπηλακισμὸς
δεινότερος. μαρτυρήσατέ μοι πρὸς διὸς ὦ
κήρυκες, οἱ τοῖς ἐπιτάγμασιν ἀγαμέμνονος
ᾐσχύνεσθε. καὶ τῷ μὴ τολμῆσαι προσελθεῖν,
τοῦ τολμήσαντος ἀποστεῖλαι κατεγνώκετε.
ἦγε μὲν ὁ Πάτροκλος τὴν κόρην κύπτων
εἰς γῆν. ἐδέχετο δὲ ὁ ταλθύβιος ἐρυθριῶν.

εἶπε τό

εἵπετο δὲ ἡ βρισηὶς στένουσα. ἐγὼ δ' ἐγκαλυ-
ψάμενος ἀπεχώρουν τῶν μυρμιδόνων. ἕκ-
τωρ δὲ ἴσως ἐγέλα. ὦ πόνοι καὶ μάχαι καὶ
πόλεων ἀνδραποδισμοί. ἀνανεοῦμαι τῇ
μνήμῃ τὴν ὕβριν. καὶ πάλιν ἐμπίπλαμαι
τοῦ θυμοῦ. φεῦγε μάλ' ἤκουον ἐπὶ τοῦ συλλό- »
γου. τί οὖν ἐνοχλεῖς τῷ πεφευγότι. τὸ ἐκεί-
νου μέρος ἀνῄρημαι. καὶ νῦν εἰμὶ μετὰ τοῦ πα-
τρός. πάρεισιν αὐτῷ βασιλεῖς ἐπιεικεῖς καὶ
πρᾶοι. καὶ μισοῦντες φιλονεικίας. ἐγὼ δὲ χα-
λεπός τις καὶ δύσερις. μὴ ζητείτω δὴ τοῦτον
οὗ φαυλίζει τὸν τρόπον. ἀλλ' ἕκτωρ φησὶ
μέγας γέγονε καὶ φοβερός. καὶ ταῖς ἀπειλαῖς
πάντας ἐλαύνει, τὸ θαῤῥεῖν ἔχων παρὰ τοῦ
διός. μὴ δὲ παύσαιτό ποτε τοιαῦτα δρῶν
ὦ ζεῦ πρόγονε. τοῦτο γάρ ἐστιν ὃ μετὰ τὴν ὕβριν
ηὐξάμεθα, τὸν μὲν κρατῆσαι τοῦ πεδίου. τοὺς
δὲ ἀεὶ πρὸς θάλατταν βιασθῆναι. τὸν δὲ
κίνδυνον ταῖς ναυσὶ προσελθεῖν. εἰ τοίνυν ταῦ-
τ' ᾐτοῦμεν, ταῦτα δὲ πέπρακται, οὐκ ἀφ'
ὧν λυπήσεις ἀπήγγελκας. ἀλλ' ὧν εἰς ἡδο-
νὴν πάντα ἐλάττω. εἰ μὲν οὖν τέρψαι βουλό-
μενος ἀθυμοῦντα, τὴν ἕκτορος διηγῇ λαμ-
πρότητα, καλῶς εὗρες ὅθεν παραμυθήσῃ.

εἰ δὲ οἴει τούτοις κινήσειν, λίαν εὐήθως ἔχεις. πῶς γὰρ οὐκ ἄτοπον βούλεσθαι μὲν ἕκτορα γενέσθαι μέγαν, γενομένῳ δὲ φθονεῖν. καὶ συνεύχεσθαι μὲν αὐτῷ πολέμου κράτος. ἐπεὶ δὲ κρατεῖ κωλύειν. καὶ ταπεινοὺς μὲν τοὺς ἕλληνας ἰδεῖν ἐπιθυμεῖν, ἡττωμένους δὲ πάλιν ὀρθοῦν. καὶ ταῦτα ποθεῖν τε ἀπόντα, καὶ παρόντα διαφθείρειν. ὥσπερ ἂν εἴ τις διὰ τῆς δήμητρος αἰτήσας εἰς πλῆθος αὐτῷ γενέσθαι τοὺς καρποὺς, εἶτα τυχὼν ἄχθοιτο τῇ φορᾷ. εἰ συμμαχοῦντος ἐμοῦ καὶ κοινωνοῦντος τῶν ἀγώνων ὀδυσσεῦ, ταῦθ' ἃ νῦν ἕκτωρ ἐτόλμα, εἶχεν ἄν τινά μοι τοῦτο παροξυσμόν. καὶ οὐκ ἂν ἠξίωσα ζῆν ἐκείνου ζῶντος. εἰ δὲ τότε μὲν ἐπὶ τῷ τείχει παρετάττετο. καὶ τὰς ἐξόδους ὡρίζετο τῇ δρυΐ. νῦν δὲ οὐδὲν αὐτῷ τὴν μανίαν χωρεῖ. τί τοῦτο πρὸς τὸν ἐν τῇ σκηνῇ καθήμενον. καταφρονεῖται γὰρ οὐχ ὁ τῶν πραγμάτων ἀποστὰς διὰ τὴν ὕβριν. ἀλλ' οἱ μὴ τοῖς πράγμασιν ἱκανοὶ παρόντες βοηθεῖν. ἐγὼ δὲ ἄρα τοσοῦτον ἀπέχω τοῦ μισεῖν ἕκτορα διὰ τὴν νῦν ἀριστείαν, ὥστε καὶ χάριν αὐτῷ φαίην ἂν εἰδέναι τοῦ θράσους. εἰ μὲν γὰρ ἐπὶ τῆς προτέρας εὐλαβείας ἔμει-

νε, πολ

νέ, πολλοῖς ἂν ἑλλήνων ἐδόκει δεδιέναι. νῦν δὲ ἀναθαῤῥήσας ἐπειδὴ μετέσχεν, ἔδειξε μόνον φοβούμενος. κἀκεῖνο μὲν τῆς αὐτοῦ δειλίας ἦν ἂν σημεῖον. τοῦτο δὲ τῆς ἐμῆς ἀνδρείας τεκμήριον. κἀκείνως μὲν οὐκ ἂν ἐφάνη τοῖς ἄλλοις τῆς ἀπουσίας τὸ βλάβος. νῦν δ' ὁ πολέμιος διδάσκει τὴν τοῦ παροινηθέντος ἀξίαν, κρατῶν ἁπάντων τοσοῦτον, ὁπόσον ἑνὸς ἥττων. τοῦτον οὖν ἀναστὰς ἐγὼ παύσω χαριζόμενον ἐμοὶ καὶ δίκην ὑπὲρ ἐμοῦ πραττόμενον; οὐκ ἄρα σωφρονεῖν δόξω. καί μοι δοκεῖς οὐκ ὀρθὴν δόξαν ἐσχηκέναι καὶ καθ' ἡμῶν ὀδυσσεῦ. τούτους γὰρ δὴ σὺ τοὺς λόγους ἐπήρθης εἰπεῖν τοὺς περὶ τῆς μανίας ἕκτορος, ἐκεῖνο ἐνθυμούμενος ἴσως, φιλότιμος ὁ ἀνήρ, ὥσπερ βολὴ τοῦ πάθους παρ' ἀχιλλεῖ, ἂν ἀκούσῃ τοῦ πολεμίου γενναῖον ἔργον, ἁρπάσει τὰ ὅπλα. ἐγὼ δὲ τῆς μὲν ἐμαυτῷ προσηκούσης ἀντιποιεῖσθαι τιμῆς ὁμολογῶ. κἂν ἀφῄρημαι ταύτην οὐκ οἴσω μετρίως. οὐ μὴν οὕτω μικροψύχως ἔχω καὶ μειρακιωδῶς, ὥστ' εἴ τις εὐδοκιμεῖ δικαίως ἀποπνίγεσθαι. καὶ μὴν εἰ καὶ σφόδρα τοῦτ' ἔπαθον, οὐκ ἔσθ' ὅπως ἂν ἧττον ἐκινήθην ἢ τοιαῦτα ἀκούων. λέγεις γὰρ αὐτὸν

τῇ τοῦ Διὸς συμμαχίᾳ, τὰ μέγιστα δύνασθαι.
τοῦτο δέ ἐστιν εὐτυχεῖν οὐκ ἀγαθὸν εἶναι, τὰ πο-
λέμια. καὶ γίνεται τὰ κατορθώματα τῆς
παρασχούσης τύχης. φιλοτιμία δὲ ἀνθρώ-
που πρὸς μὲν τοὺς ἀρετῇ χρωμένους, κἂν πά-
θοι τι καὶ παροξυνθείη. τοὺς δὲ εὐπραξίᾳ τί δυ-
νηθέντας, οὐκ ἂν ζηλωτούς τις ἡγήσαιτο,
τῇ δόσει θεῶν λογιζόμενος τὰ ἔργα. ἐπεὶ καὶ
τοὺς ἀγαθοὺς ἀτυχοῦντας, οὐ φαύλους παρὰ
τὰ πταίσματα ἐκρίνομεν. καὶ νῦν Ἕκτωρ εἴ-
περ οὕτως τῇ τύχῃ μέγας ἐστὶ, πόῤῥω τοῦ
θαυμάζεσθαι γίνεται. ἀλλὰ τί εὐποιῶν προσέ-
θηκας τῷ μὲν Διά καὶ τὴν εὔνοιαν ἣν εἰς τοὺς Τρῶας
ἔχει. ἐν γὰρ τούτῳ τῷ λόγῳ τὰς καθ' ἡμῶν
ἀνῄρηκας αἰτίας. τίνα γὰρ μάρτυρα μείζω
παράσχωμαι τοῦ δικαίως τὴν ἡσυχίαν ἄγειν,
ἢ τὸν ἄριστον τῶν θεῶν ὃν σὺ φὴς ταὐτά μοι
περὶ ὑμῶν φρονεῖν καὶ συνοργίζεσθαι, καὶ τὴν
ῥοπὴν ἄγειν ἐπὶ τοὺς ἐναντίους. πῶς οὖν ἀδι-
κῶ χαλεπαίνων. εἰ τῷ χαλεπαίνειν ὁμολο-
γῶ τῷ Διΐ. πῶς δ' οὐ σεμνύνει μοι τὴν ὀργὴν
ὁ κοινωνῶν μοι τῆς καθ' ὑμῶν ὀργῆς. μᾶλλον
δὲ μειζόνως ἀγανακτῶν. εἴπερ ἐγὼ μὲν, οὐ
βοηθῶ τοῖς Ἕλλησιν. ὁ δὲ καὶ πολεμεῖ τοῖς
ἕλ

ἕλλησιν. εἰ τοίνυν τὸ τοῖς θεοῖς ἀκολουθεῖν δίκαια ποιούντων ἐστὶν, αἱ μὲν διαλλαγαὶ τὴν μέμψιν, τὸ δὲ φυλάττειν τὴν ὀργὴν ἔπαινον ἔχει. πάνυ τοίνυν ἠχθόμην ὅτε με τοῦ πατρὸς ἀμνημονεῖν ἔφησθα. τὸν μὲν γὰρ κελεύειν θυμοῦ κρατεῖν. ἐμὲ δὲ ἥττω πεφυκέναι. οὐκοῦν δὴ τοῖς μὲν ἄλλοις ἦν τότε ὦτα, ἐμοὶ δὲ οὐκ ἦν ὀδυσσεῦ. ἀλλ' ἴσμεν ἃ περὶ θυμοῦ λέγοντος ἀκηκόαμεν. σὺ δὲ σοφίζῃ καὶ διαστρέφεις τὸν λόγον. ἔλεγε τοίνυν τότε ἐκεῖνος. ὦ παῖ. μὴ καταμέλει τοὺς ἕλληνας ὡς οἰκειότατα πρὸς αὐτὸν διατιθέναι. τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ μηδενὸς ἀρχῆς ἀδίκου μήτ' ἔργου μήτε ῥήματος θυμῷ δουλεύων. ἐκεῖνα δὲ οὐκ ἀκήκοα; οὐδὲ πηλεὺς ἐπέτελλεν. ὦ παῖ. μικρὰ φρόνει. ταπεινὸς γίνου. εἰς γῆν κύπτε. μὴ δόξης ὀρέγου. μετὰ τῶν ἀνδραπόδων ἀριθμοῦ. προσκύνει τοὺς ὑβρίζοντας: κἂν ἐπὶ κόρρης πατάξῃ σέ τις, μὴ χαλέπαινε. κἂν ἀποστερήσῃ γέρως. σιώπα. πέμπω σε νῦν εἰς ἴλιον οὐ κτησόμενον εὔκλειαν, ἀλλ' αἰσχυνοῦντα τὸ γένος. τούτων οὐδὲν ἀκήκοα τῶν λόγων. οὐδὲ πηλεὺς ἐπέτελλεν. ἀλλὰ τῆς ἐπιεικεί

ας αὐτῆς ἐκεῖνον ἔφασκεν εἶναι τὸν μισθὸν, τὴν παρ' ἑκατέρας τῆς ἡλικίας τιμήν. καὶ νέων καὶ γερόντων, ὁ δ' ἡ τὴν πρᾳότητα καλὸν ἁπάντων ἡγούμενος διὰ τὴν ἀπ' αὐτῆς τιμήν. πῶς ἂν οὗτος ἐπείθη ἀνάλγητον εἶναι πρὸς ἀτιμίαν. ἀλλ' ὅταν ἔφην, ἄρχειν μὲν ὕβρεως ἀπέτρεπε. λυπεῖσθαι δὲ παθόντα κακῶς οὐκ ἐκώλυεν. ἀλλ' οὐδ' ἂν τὴν ἀρχὴν ἔπεμψεν εἰ ταῦτ' ᾔδει πεισόμενον. εἰ μὲν οὖν ἐγὼ τὰ δίκαια τῶν ἑλλήνων πρὸς ἐμὲ ποιούντων, ἠγροικισάμην εἰς ὁντινοῦν. ἢ τῶν νέων, ἢ τῶν πρεσβυτέρων, ἢ τῶν ἡγεμόνων. ἢ τῶν πολλῶν. εἰ κακῶς εἶπον. εἰ τοῦ διέῤῥηξα χλανύδιον. εἰ τὸ σκῆπτρον εἰς πληγὴν ἀνετεινάμην. εἰ γέρας ἀφειλόμην ὡς ἂν αὐτὸς τοῖς ἐμαυτοῦ κινδύνοις ταῦτα κομίσας. εἰ μικρὸν ἢ μεῖζον ὧν οὐκ ἄμεινον θυμῷ προήχθην ἐργάσασθαι, ἀδικῶ μὲν ὑμᾶς. ἀδικῶ δὲ πηλέα. ὁ δὲ θυμὸς παρ' ἐμοὶ τὰ πρῶτα ἔχει. λήθη δέ μοι τοῦ πατρὸς οὐκ οἶδ' ὅπως γέγονεν. ἀλλ' ἐπάνειμι πρὸς τὰς παραινέσεις. καὶ σωφρονῶ καὶ λαμβάνω τὰ ὅπλα. εἰ δ' ἥμαρτον μὲν οὐδὲν ὑβρισμένος δὲ ἀλγεῖν ἐπίσταμαι, τοῦ πηλέως αἱ συμβουλαὶ παρορῶνται. δοκῶ δέ

μοι

μοι τρόπον ἕτερον ἐπιλελῆσθαι τελέως ἔτι ἔχων ἐν τῇ γῇ τὰς ναῦς. ἢ μέλλων καθέλκειν, ἀλλ' οὐ συνάψας ὑπὸ προπηλακισμῶν τὸν ἀπόπλουν. εἰ γὰρ αὐτῷ τις ἀγγείλειεν οἷα παθών, οἵους δέχομαι λόγους, μέγα ἂν οἰμώξειεν, ὡς ἀπολωλότος μοι τοῦ φρονήματος. σὺ δὲ μὴ λέγε τὸν θυμὸν ἀπολωλώς, ἀλλ' εἰ μὴ λόγον ἔχει, τοῦτ' ἐπίδειξον. μὴ δὲ ψιλὴν πρόφερε τὴν ὀργήν. ἀλλ' εἰ μὴ τάξιν ἔχει τιμωρίας, τοῦτ' ἐξέταξε. εἰ δὲ ἐγὼ φαῦλος ὑπὸ θυμῷ, φαῦλοι μὲν οἱ τὴν στρατίαν ἀγείραντες. φαῦλοι δὲ οἱ τούτοις ὑπακούσαντες, καὶ τοσαύτην ποιησάμενοι τὴν ὀργήν, ὥστε καὶ γονέων καὶ παίδων. καὶ συγγενείας καὶ κτημάτων. ἢ κατασκευῆς λαμπρᾶς. καὶ γῆς καὶ πατρίδος. ἢ ἱερῶν. ἢ τάφων. καὶ πάντων ἃ κατέχειν ἰσχύει, τὴν τῶν λελυπηκότων τιμωρίαν ποθεινοτέραν ἡγήσασθαι. καὶ μὴν ἐμοὶ μὲν οὔπω πεντεκαίδεκα ἡμέραι τοῦ θυμοῦ. κοινῇ δὲ τοῖς ἕλλησι δέκατον ἔτος. τί οὖν οὐ ταῦτα πρὸς ἀγαμέμνονα ἔλεγον, ἡγέμεναι δ' εἶδος
» κακομηχάνου. ὄφρα σε μᾶλλον τίωσι τρώων »
ἢ μὲν νέοι ἠδὲ γέροντες. δῆλον γὰρ ὡς εἴπερ »

ἀπαίρειν ἐβούλετο πάλαι καὶ μὴ παρέχειν
πράγματα, κἂν εὔξαντο τῷ ποσειδῶνι πα
ραπέμψαι τὰς ναῦς. ἀλλ' οἶμαι τὸ δευτέ
ρους ἥκειν ὑπὲρ τοῦ λυπεῖν, κοσμεῖ τὸν θυμόν.
,, ἔστι γὰρ δούλου μὲν σιγῇ παθεῖν. ἐλευθέρου δὲ
,, παθόντα ἀμύνασθαι. χωρὶς δὲ τούτων,
πῶς ἔνεστι ταῦτα ἀμφότερα συνελθεῖν,
τάς θ' ὑπὲρ ἀγαμέμνονος ἱκετείας καὶ τὰ καθ'
ἡμῶν ἐγκλήματα. εἰ μὲν γὰρ ἐγὼ τοῦ πηλέως
ἀμνημονῶ, τί τὸ κατηγορεῖν ἀφέντες εἰς
συγγνώμην καταφεύγετε. εἰ δὲ ὑμῖν ἡ πα-
ραίτησις πρέπουσα, ταῖς καθ' ἡμῶν αἰτίαις
οὐκ ἔστι χώρα. δεῖ δ' ἢ δυοῖν θάτερον, ἢ συγγνώ
μην αἰτεῖν, ἢ μέμφεσθαι. ἀλλὰ δῶρα φησί.
τὰ μὲν δίδωσι. τὰ δὲ ὑπισχνεῖται. καὶ τού
τοις ὑβρίζων φαίην ἂν εἰ πεπίστευκεν ἐπ' ἐ-
μαυτῷ μετὰ χρήματα λήψεσθαι. καὶ τὴν
,, ἐπιτιμίαν ἀποδόσεσθαι. καὶ τί κωλύσει καὶ
,, ἄλλον αὐτὸν καὶ τῶν εὐπορούντων ἕκαστον ἀ-
,, δεῶς ὑβρίζειν. εἴπερ ἐξαρκέσει χρήματα
,, καταθέντι παῦσαι τῶν ἠδικημένων τὸν θυ
,, μόν. καλόν γε. οὐ γὰρ πλοῦτον συλλέγειν ἐξ
ἀσωτίας καὶ χρηματίζεσθαι, τοῖς ἀσελγαί
νειν βουλομένοις αὑτὸν προθέντα. καὶ πότερον
δῶρα

δῶρα ταῦτα χρὴ καλεῖν, ἢ δουλείας ἀρχήν. οὐ γὰρ δὴ πρὶν μὲν γενέσθαι καταφανὲς εἰς τὴν ὀργὴν τοῖς χρήμασιν ἀναιρήσω. ῥαδίως οὕτως ἀγαμέμνων ὕβριζεν, ἔργῳ δὲ γνοὺς ὅτι πάντ᾽ ἂν ὑπομείναιμι χρημάτων, αὐδεῖ χρήσεται πρὸς τοῦτον ὃν ἔξεστι πρίασθαι. ὅλως δὲ εἰ μὲν χρυσίῳ πολλὰ καὶ θαυμαστὰ λύτρα φέροντα μικροῦ διειργάζετο, ἡμᾶς δὲ ἀξιοῖ πρὸς τοὺς τρίποδας ἐκπλαγῆναι καθάπερ ἐν ἐνδείᾳ τραφέντας. εἰ δοῦλος ἦν ὀδυσσεὺς περιουσίας δὲ ἣν ἂν ἐν φθίᾳ μοι καθημένῳ τρυφᾶν. νῦν δὲ ἔρωτι μὲν δόξης ὑπερεῖδον τὰ οἴκοι. τετελευτήκασι δέ μοι πρὸς ἀτιμίαν οἱ πόνοι. φέρ᾽ εἰ πρὸ τῆς ἀσελγείας ὑπισχνεῖτο δῶρα δώσειν, εἰ πρεινοῦντος ἀνασχοίμην, ἆρ᾽ ἄν μοι συνεβούλευσας ἀπρεπεῖς οὕτω πεισθῆναι συνθήκας. οὐκ ἔστιν. οὐχ οὕτω ποτ᾽ ἂν φθέγξαιο. εἰθ᾽ ὑβρίζεσθαι μὲν τοῖς δώρων ἐλπίσι, πολλῆς ἂν εἴη μανίας. ὑβρισθέντα δὲ χρημάτων λύσειν τὴν ὀργὴν τῶν καλῶν ἐν τίνι ἐστί, καὶ μὴν τὸ λαβόντα καταλῦσαι τὸν θυμὸν ἴσον γίνεται τῷ παθεῖν τῷ λαβεῖν. ἑκάτερον γάρ ἐστιν ἀνδρὸς τὸ παροινεῖσθαι πεποιημένου πρόσοδον. ὅλως δὲ γέλως τὰ δῶρα καὶ τὰ νῦν προκεχειρισμένα, καὶ ἃ τροίας ἁλου-

φησ ἐπαγγέλλεται. καὶ πολὺ τῶν μελλόντων ἐκεῖνο λέγω. ἐμοὶ μένοντι καὶ μετέχοντι τῶν ἀγώνων, εἵμαρται πεσεῖν ὀδυσσεῦ. πηλέα δὲ καὶ πατρῷον οἶκον οὐκ ὄψομαι. ταῦτα εἶπεν ἡ μήτηρ θεὸς οὖσα. καὶ μὴ πιστεύειν οὐκ ἔνεστιν. ἄνελε οὖν ἐκ τοῦ λόγου τὴν ναῦν τοῦ χρυσοῦ. καὶ τὰς εἴκοσι τρωάδας. καὶ τὰς ἑπτὰ πόλεις, καὶ τὴν κηδείαν, κεναὶ γὰρ ταῦθ᾽ ὑποσχέσεις, ὥσπερ ἂν εἰ καὶ τῷ προτεσιλάῳ δῶρα νῦν ἔπεμπεν εἰς ἐλεοῦντα. πολὺ μὲν οὖν τῶν μετὰ τὴν νίκην, τοσαῦτα εἰρήσθω μοι. πολὺ δὲ τῶν ἑτοίμων καὶ ὧν ἐγγὺς ἡ δόσις, τί φημι. ταχέως ἀγαμέμνων ἐπιλέλησται πόθεν ἔχει τὸ δῶρα διδόναι δύνασθαι; ταῦτα γὰρ οὐκ ἐκ μυκηνῶν ἐνθέμενος εἰς τὰς ναῦς ἧκεν ἄγων. ἀλλὰ τοῖς μὲν ἐμοῖς κινδύνοις ἐκτήθη. μεγαλοψυχίᾳ δὲ εἰς τὸ κοινὸν ἀφείθη. ἂν οὖν λάβω, τἀμαυτοῦ λαβὼν ἔσομαι. φέρε γὰρ εἰ μὴ τὴν λέσβον εἷλον, ἆρ᾽ ἂν εἶχεν ὑπισχνεῖσθαι τὰς ἑπτὰ γυναῖκας τὰς λεσβίδας; τί δὲ εἰ μὴ τὰς ἄλλας ᾑρήκειν. ἆρ᾽ ἂν εἶχεν ὑπισχνεῖσθαι τ᾽ ἄλλα; εἰ τοίνυν ἃ παρ᾽ ἐμοῦ γέγονεν ἐκείνῳ ταῦτ᾽ ἐμοὶ παρ᾽ ἐκείνου, παρ᾽ ἐμαυτοῦ μοι γίνεται τὰ δῶρα.

καὶ χάριν εἰδέναι δίκαιος ἐμοὶ πάντων, ἀλλ' οὐκ ἐγὼ τοῦ μέρους ἐκείνῳ. δοκεῖ δέ μοι μὴ δὲ τοὔνομα τῶν δώρων προσήκειν τῷ παρόντι πράγματι.. ὁ μὲν γὰρ ὧν οὐ κατέστη κύριος ταῦτα λαμβάνων, δῶρα λαμβάνει. ὁ δ' ὧν ἐγκρατὴς ὑπῆρχε ταῦτα δεχόμενος, ἃ πρότερον εἶχε κομίζεται. ὥστ' οὐδὲ πάντων ἀφισάμενος τῶν ἐν τῇ σκηνῇ δώρων μεμνῆτ' ἂν εἰκότως. οὐ γὰρ δοῦναι τοῦτό ἐστιν. ἀλλ' ἀποδοῦναι. νῦν δὲ ποιεῖ παραπλήσιον, ὥσπερ ἂν εἰ καὶ τὴν κίθαραν ταύτην εἰς δωρεάν μοι λογίζοιτο. χωρὶς δὲ τούτων μὴ θαυμάζοντα μὲν τὰ δῶρα, τὴν ὀργὴν ἐξαλείφειν οὐκ ἔνι. θαυμάζειν δὲ ὧν τις ὑπερεῖδεν, οὐχ οἷόν τε. ἐμοὶ τοίνυν κατέχειν μὲν ἐξῆν ἑλόντι. τίς γὰρ ἂν ἄκοντος ἥψατο. κοινὰ δὲ ποιεῖν τῶν ἑλλήνων τὰ τῶν ἐχθρῶν ἀγαθὰ, πρέπειν ᾠήθην. εἶτ' ἐν χερσὶν μὲν ὄντα ῥᾳδίως ἐξέβαλον. ζητῶ δ' ἀπόντα. καὶ τῷ δοῦναι σεμνυνόμενος ἐπιθυμῶ λαβεῖν, καὶ πάντα μὲν ἡγησάμην μικρὰ, μικρὰ δ' ἐξ ἁπάντων θαυμάζω; τί οὖν αἰτεῖ συγγνώμην ἀγαμέμνων. εἰ γὰρ ἐφέλκεταί με τὰ δῶρα, καλῶς ἐκεῖνος ὕβριζε. πᾶς γὰρ ἐλάττων κέρδους, ἀ

τιμαζέσθω. βούλομαι τοίνυν ἐπανελθὼν ὅσα φρονῶ περὶ τῆς κηδείας εἰπεῖν. θῶμεν γὰρ καὶ βιώσεσθαί με παρὰ τὴν τῆς μητρὸς μαντείαν, καὶ πάλιν ἐπιβήσεσθαι τῆς οἰκίας. εὐθὺς γὰρ ἀγαμέμνων ἐγγυήσει τὴν θυγατέρα; τί λέγεις. ὁ τὴν οὖσαν ἀφαιρούμενος, τὴν αὐτοῦ δώσει, καὶ διὰ αἰχμαλώτου φθονῶν, ἐγχειριεῖ τὴν παῖδα, καὶ τοῦ πολέμου τελευτὴν εἰληφότος ἔσται χρηστός, ὁ μηδ' ἐν τῇ χρείᾳ σωφρονῶν; οὐκ ἔστιν. ὁρῶ δὲ μᾶλλον τοῖς ἤδη πεπραγμένοις. ἡ γίνεταί μοι τῶν δευτέρων ἃ πέπονθα διδαχή. καὶ τοῖς ἐγνωσμένοις τὰ φανὲς ἐξελέγχεται. ἀλλ' εἰ δοκεῖ καὶ τοῦτο θῶμεν, ἐμμένειν οἷς ὑπισχνεῖται, καὶ πληρώσειν τὸν γάμον. τί τοίνυν ἐν τῇ παιδὶ τοιοῦτον δι' ὃ δεῖ προκινδυνεῦσαι τῶν δυσμενοῦς. πλοῦτον ἐποίσεται μέγαν; ἀλλ' οὐ θαυμάζω τὸ πλουτεῖν. ὥρα λάμπει σώματος; ἀλλ' οὐκ ἀσφαλὲς τὸ κτῆμα. καὶ δείκνυσιν ἑλένη. τρόπων ἤσκησεν ἀρετήν; καὶ πότερον τὴν τίθην ἢ τὴν τιθίδα μεμίμηται. γένους ἕνεκα νὴ δία; πότερον αἰακὸς ταντάλου χείρων, ἢ πηλεὺς ἀτρέως. ὧν ὁ μὲν εὐχῇ τὸν λοιμὸν διέλυσεν. ὁ δὲ τὴν τῶν κενταύρων ὕ-

βειν κατέλυσε. καὶ δι' ἀρετῆς τρόπον, ὑπὲρ τῆς θέτιδος ἐτιμήθη γάμῳ. ἐξεταζέτω τοὺς προγόνους ἀγαμέμνων, καὶ πάντας ἐκ τῶν ἀδικημάτων βεβοημένους εὑρήσει. τάνταλος ἐξειπὼν τὰ ἀπόῤῥητα. καὶ τεθνεὼς κολάζεται. δικάζει δὲ ὑπὸ γῆν αἰακός. πέλοψ τὸν συναγωνιστὴν μυρτίλον, ἐν γεραιστῷ κατεπόντισεν. ἀτρεὺς ἀδελφὸν ἀπέκτεινε, καὶ παῖδας ἀδελφοῦ. τὴν δὲ θοίνην σιωπῶ. οὗτος αὐτὸς ἀγαμέμνων εἰς τὸν ἀπόλλω καὶ τὴν ἄρτεμιν ἀσελγής. ὥστε οὐκ οἶδ' εἰ προσήκει οἰκίαν θαυμάζειν τοσούτων γέμουσαν μύσους. κεφάλαιον δὲ. βάρβαρος ἀγαμέμνων τοὐξ ἀρχῆς. ἐγὼ δὲ αἰγινίτης. γίνεται οὖν ἡ μίξις τοῖν γενοῖν, ὄνειδος μὲν ταῖς αἰακίδαις. κόσμος δὲ τοῖς πελοπίδαις. οὐκοῦν ἐκεῖνος θεραπευέτω τὴν ὕβριν ὑπὲρ γάμῳ. ἀλλ' αὐτὸς ἁμαρτών, οὕτως ἂν ὤμην τὴν ἁμαρτίαν λύσειν φάσκων αὐτῷ κηδεύσειν αὖθις ταῖς διαλλαγαῖς. εἰ δ' ὥσπερ ὀρέστην με τιμήσει, ὑπὲρ μὴ μᾶλλον ἐμὲ τιμᾶν, ἀδικήσει. πῶς γὰρ οὐκ ἄτοπον παρ' ἐμοῦ μὲν ἔχειν τὸν ὀρέστην αὖθις ἰδεῖν, τῆς δὲ αὐτῆς ἄγειν ἐκείνῳ τιμῆς. ὀρέστη γε μὲν τοῦ πατρὸς ἐντιμότερος ἐγώ. δι' ὃν οὐκ ὀρφανὸς ἐκεῖνος. τούτῳ δὲ ὀρέστου, δι' ὃν

ἕξει τὸ παιδὸς ἀπολαύειν. οὕτω τῶν ὑπαρχέσεων, αἱ μὲν ἐλάττους τοῦ δέοντος. αἱ δὲ δωρεῶν ἀφιστᾶσιν. ἐν δὲ ταῖς, ἐκεῖνος πλεονεκτεῖ. ἀλλ' ἔστων καὶ μεγάλαι καὶ πολλαὶ καὶ θαυμασταί. ἐχθροῦ δέ γε εἰσὶ καὶ οὐ πεφύκασιν εὐφραίνειν. ὦ τοίνυν ἡμᾶς μάλιστα κάμπτειν ἡ ἐλπίζας, ὅτι τὴν κόρην ἀποπέμψει, τοῦτο τοῦ μηδενὸς ἄξιον εἰς τὴν σπουδήν ἐστι σοι. τίς γὰρ οὕτως εὐήθης, ὃς οὐ τῆς ἀφαιρέσεως ἀλγήσει μᾶλλον, ἢ τῆς ἀποδόσεως εἴσεται χάριν. τὸ μὲν γὰρ ἐκ δικαίων ὑπῆρχε, τὸ τῶν αὐτοῦ κρατεῖν. ὅν δ' ἀφήρηταί τις χρόνον, ἠδίκηται. καὶ τὸ μὲν ἐστὶν ἔγκλημα. τὸ δὲ οὐκ ἔστιν εὐεργεσία. ὃ γὰρ ἐχρῆν συνεχῶς παρ' ἐμοὶ μένειν, τοῦτο ἁρπάσας εἶτ' ἀποδοὺς, τότε μὲν ἐλύπεις. τῷ δὲ οὐ χαρίζῃ. τίς γὰρ ἡ χάρις ἀποστῆναι τῶν ἀλλοτρίων. ὅτι τοίνυν οὐχ οἷόν τε λύπην τῶν ἀδικημάτων διὰ τῆς ἀποδόσεως γενέσθαι, γνοίης ἂν ὧδί. νῦν ἐπάνεισι μοι βρισηΐς. καλῶς. πόθεν δὲ ἐπάνεισι. παρ' ἀγαμέμνονος. τοῦτο δὴ αὐτὸ τὸ παρ' ἀγαμέμνονος ἐπανήκειν, τίς λύσει μοι μηχανή. ἕως δ' ἂν ἀπὸ τῆς ἐκείνου σκηνῆς ἥκῃ, μένει τὸ λυποῦν ἀνίατον. χωρὶς δὲ τούτων,

οὐ τὸ

οὐ τὸ σῶμα τῆς ἀνθρώπου τότ' ἀφῃρεῖτο μόνον, ἀλλὰ καὶ προσῆν ὕβρις τοῖς πραττομένοις. μᾶλλον δὲ ὅλον ὕβρις ἦν τὸ πρᾶγμα. ἡ μὲν γὰρ ἄνθρωπος, αὖθις ἔσται παρ' ἡμῖν. τὸ δὲ μὴ πεπαρῳνῆσθαι πόθεν προσέσται μοι. εἰ γοῦν ὑπὲρ οὗ τὴν κόρην ἀπέσπα, ἐὰν οὐκ ἀναιρήσει, σώζεται τὸ ἀδίκημα. κἂν ἀποπέμπῃ τὴν κόρην εἰς ἐμὲ ἡ ὕβρις μένει. εἰ προσελθών τις τῶν ἑλλήνων τρώσειεν ἐπιβουλεύων, οὐ καθυφήσεις τῆς ὀργῆς ὁρῶν κομίζοντα τῷ τραύματι φάρμακον. ἕτοιμον γὰρ ἅμα καὶ δίκαιον εἰπεῖν. ὦ κάκιστ' ἀνδρῶν τί γὰρ κατεσκεύαζες τῷ φαρμάκῳ τὴν χρείαν, ἐξὸν ὅλως ἔχειν παρὰ σαυτῷ τὼ χεῖρε. τί δὲ ἀντὶ τοῦ μὴ πλῆξαι τὴν πληγὴν ἐπανορθοῖς. εἶτα σὺ μὲν οὕτως. ἂν δ' ἀγαμέμνων εἴπῃ λέλυται τὸ δεινόν. ἐπάνεισιν ἡ κόρη. προσδραμὼν ἐγὼ περιπτύξομαι τὸν ἄνδρα καθάπερ ὄντως οὐδὲν ἠδικημένος. ἀλλ' οὐχ' οὕτως ἀνόητός εἰμι καὶ κατὰ σὲ σοφός. ἐγὼ μὲν γὰρ ἡγοῦμαι τὴν ἀπόδοσιν αὐτὴν δεῖγμα εἶναι τῆς ἀδικίας. ἐν ᾧ γὰρ ἀφίησί τις τοῖς ἐξ ἀρχῆς κυρίοις ἃ τέως ἀπεστέρει, τὸ μὴ προσηκόντως ἀφελέσθαι δείκνυσιν. ὅταν γὰρ ἀκούω τὴν ἀπόδοσιν, ἐννοῶ τὴν

ἀφαίρεσιν. καὶ συνεισέρχεται τὸ λυποῦν. περὶ θεῶν εἴτις αὐτοῦ τὴν τιμὴν ἀφελόμενος ἡμέρας ἢ πλείους ἢ ἐλάττους, εἶτ' αὖθις ἑκὼν ἀπαλλάττοιτο, τὴν βασιλείαν ἀποδοὺς. ἆρ' ἂν ἡγήσαιτο μηδὲν ἄξιον δίκης πεπράχθαι; τί δ' εἴτις κλυταιμνήστρᾳ συνοικοίη, μέχρις ἂν οὗτος ἀπίῃ, φανέντος δὲ μηκέτι ἐπίῃ τῇ γυναικί. ἆρ' ἂν ἀγνώμονα τὸν βέλτιστον κρίνειε τὸν οὐκ ἄχρι παντὸς ἀδικοῦντα; σὺ δὲ πρὸς τῆς ἀθηνᾶς εἰ τὴν πηνελόπην ἀνὴρ ἰθακήσιος ἀποσπάσας τῶν σῶν βασιλείων οἴκαδε ὡς αὐτὸν ἀγαγὼν ἔχοι, εἶτα πυθόμενός σε κατηρκέναι πάλιν καταστήσειεν εἰς τὰ πρότερα, ἆρ' οὐκ οἰήσῃ τοῦ ξίφους δεῖν ἐπ' αὐτόν, οὐδ' ἐκεῖνα μισήσεις, ἀλλὰ τούτων εἴσῃ χάριν; μέγα μὲν τ' ἂν ὑπάρξειε τοῖς πονηροῖς, εἰ τρυφῶντες ἐπ' ἀλλοτρίοις ὁπόσον ἐθέλουσιν, εἶτ' ἀποδόντες, ἐν τοῖς ἐπιτηδείοις γε γράφονται. ἀλλ' οὐδ' αὐτολύκῳ τῷ πάππῳ σῷ τοῦτ' ἂν ἤρκεσεν εἰπεῖν εἴπερ ἑάλω κλοπῆς, ἀποδίδωμι. κομίζεσθαι τὰ φώρια. τί κεκράγετε. τί ἠδίκησθε.
» δεῖ γὰρ ἐξ ἀρχῆς εἶναι χρηστόν, οὐκ ἀδικοῦντα
» σοφίζεσθαι. ἀξιῶ δέ σε μὴ δυσχερῶς ἀκούειν,

εἰ μετὰ

εἰ μετὰ τὴν Πηνελόπης καὶ Κλυταιμνήστρας μνημονεύσαιμι τῆς Βρισέως. ἑκάστῳ γὰρ ὅτι φίλον, ,, τοῦτ᾽ ἔντιμον. ἐμοὶ δὲ ἦν ἐκείνη περὶ πολ- ,, λοῦ. καὶ οὐδὲν ἐκώλυεν ἡ τύχη. ὥσπερ τὸν ὑμῖν ἀπολαμβάνουσιν, οὐκ ἂν ἀπέχρησεν οὐδετέρῳ, ★ καὶ μὴν εἰ λύσιν τῆς ὕβρεως οἰησόμεθα τὴν ἀπόδοσιν, πονηρὸν ἔθος εἰς τὸ στρατόπεδον εἰσάγοντες λήσομεν. ἀφαιρήσεται μὲν τὸ σὸν γέρας ὁ Διομήδης. Αἴας δὲ ὁ Αἴαντος, οὑτοσὶ τὸ τοῦ Λοκροῦ. Μενέλεως δὲ τὸ Νέστορος. ἄλλος δὲ τὸ τοῦ δεῖνος. εἰ δὲ ἀγανάκτησις γένοιτο, πάντες ἀποδώσουσι. τοῖς δὲ ὑβρισμένοις σιωπᾶν καταλείπεται. ἀλλ᾽ οὐκ ἔσται ταῦτα. μηδὲ γένοιτο ὦ Πόσειδον. ἀλλ᾽ ἐνταῦθα δὴ καὶ τὸ τούτου δεινότερον, εἰ πέπονθα μόνος ἃ μηδεὶς ἔτι τολμήσει. χθὲς ὑμεῖς ἐπαινεῖτε τὸν Τυδέως, ἔγνων γὰρ ἔγνων, ἐπειδὴ μάλα νεανικῶς ἀπεκρίνατο πρὸς Ἰδαῖον, ὡς οὔτε τὴν Ἑλένην ἀποδοῦσιν ἔσται τοῦ πολέμου πέρας. καὶ ὡς οὐκ ἀπήρεσκε τοῖς Ἀτρείδαις ὁ λόγος, ἐμαρτύρησεν Ἀγαμέμνων οὐ ζητήσας ἑτέρας ἀποκρίσεις. μὴ τοίνυν οὕτω πλεονεκτικῶς ἐχόντων, ὥστε τούτοις ἀξιοῦν στέργειν ἐμέ, ὧν αὐτοῖς γινομέ-

νων οὐκ ἂν ἠγάπησαν. καὶ δῆτα στέργει μενέ-
λεως ἀπολαμβάνων. καὶ πόλεμος οὐκ ἔσται.
ἀλλ᾽ οὐδέν τι μᾶλλον ἐμοὶ ταῦτα ποιητέ-
ον. διὰ τί. ὅτι πρῶτον μὲν μενέλεως ὑπὸ ἀλ-
λοφύλων ἠδίκηται. καὶ οἷς φύσις πρὸς τοὺς
ἕλληνας ἀθάνατον ἔτεκε τὴν ἔχθραν. ὥστ᾽
ἐλάττων ὁ θυμὸς γίνεται παρὰ τὸ εἰκὸς συμ-
βῆναι. ἔπειτ᾽ ἀλέξανδρος οὐκ εἰς εὐεργέτην
ἡμάρτανεν. οὐ γὰρ ἐκείνῳ γε συνανήχθη μενέ-
λεως. οὐδὲ στρατείας ἐκοινώνησε καὶ πόνων.
οὐδὲ συνήρατο πράγματα. οὐδὲ παρεῖχε κα-
θεύδοντι τῶν δυσμενῶν κρατεῖν. οὐκοῦν εἶχεν
ἀφορμὰς εἰς ὀργὰς μεγάλας. ἐγὼ δὲ ἕλλην
ὑφ᾽ ἕλληνος ὑβριζόμην. σύμπλους. σύμ-
πνους. συστρατηγός. ὑπὲρ τῶν ἐκείνου διαφε-
ρόντων κοπτόμενος. τῆς μὲν βουλῆς κοινω-
νῶν. τὰ δ᾽ ἐν τοῖς ὅπλοις μόνος μοχθῶν.
τὰς δ᾽ εὐπορίας εἰς μέσον παρέχων. ὅσῳ γί-
νῃ εὐποιῶν ἠλαυνόμην, τοσούτῳ πλέον ἀλ-
γῶ. καὶ θαυμαστὸν οὐδὲν μὴ τοῖς ἴσοις διαλ-
λάττεσθαι τοὺς οὐκ ἴσα παθόντας. ᾧ μὲν γὰρ
ἡ λύπη μικρά, τούτῳ τὸ κομίσασθαι μέγι-
στον. ᾧ δὲ ὑπερβάλλουσα, τούτῳ πάλιν λα-
βεῖν οὐκ ἀπόχρη. ἄνευ δὲ τούτων ἀκούω
τὸν

τὸν μενέλεων οὐ τοῦ κάλλους τῆς ἑλένης ἐπιθυμεῖν. ἀλλὰ τῆς παρ' αὐτῆς δίκης. βούλεται γὰρ λαβὼν αἰκίσασθαι. λιμῷ πιέσαι. κατακόψαι. ταύτῃ γὰρ ἐγκαλεῖ πλέον ἢ τῷ τοῦ πριάμου. μὴ γὰρ ἐθέλουσαν οὐκ ἂν ἐκ μέσης ἁρπασθῆναι λακεδαίμονος. ἣν τοίνυν μᾶλλον ἢ τρῶας μισεῖ, ταύτην εἰ λάβοι παρ' ἑκόντων οὐκ ἂν τρωσὶ χαλεπαίνοι. ἐγὼ δὲ. τί χρήσωμαι τῇ κόρῃ. τὸ μὲν γὰρ συνοικεῖν αἰσχρόν. τὸ δὲ ἀποκτείνειν οὐ δίκαιον. εἰσιδὼν γὰρ ἑλκομένην. ἀφιείσαν δάκρυον. οὐκοῦν ἐκείνῳ μὲν ἴσχει τὴν λύπην, ἑλένη δοῦσα δίκην. ἐμοὶ δὲ οὐκ ἔστιν ὃ παύσει τὸν θυμόν. παρὰ πάντα δὲ ταῦτα ἐκεῖνο λέγω. νῦν ὁ καιρός μοι τὴν βρισέως ἀποδίδωσιν. ὁ κίνδυνος. ὁ φόβος. ἡ ταραχή. τὰ τῶν βαρβάρων εὐτυχήματα. μὴ οὖν ὡς ἀγαμέμνονος, ἐπιεικοῦς γεγενημένου, χρῶ τοῖς λόγοις. ὃ γὰρ ἑκὼν οὐ ποιεῖ, πῶς ἂν τούτῳ χρηστὸς εἶναι δοκοίη. εἰ μὲν οὖν οὔπω τῶν πραγμάτων εἰς δυσκολίαν ἡκόντων, μετεβάλλετο. ἢ πρέσβεις πέμπων ἀπελογεῖτο, τάχ' ἂν εἶχε λόγον ἐκδοῦναι καὶ νομίσαι βελτίω γεγενῆσθαι τὸν ἄνθρωπον. ἐπεὶ δὲ οὐδὲν ἔπραξεν ἐπιεικὲς πρὸ τοῦ θορύβου, μὴ ποιεί-

θω τὰ τῆς ἀνάγκης ἑαυτοῦ. ὥσπερ γὰρ οὐ τῶν κηρύκων ἡγούμην τὴν ἀφαίρεσιν εἰ καὶ λαβόντες ἀπήγαγον τὴν κόρην, οὕτως οὐδὲ τούτου τὴν ἀπόδοσιν εἰ καὶ σφόδρα ἀποπέμψει. ἀλλ' ἦν ἐκεῖνο μὲν ἀγαμέμνονος. τοῦτο δὲ τῆς ἥττης. αὐτὸ δέ γε τὸ τοὺς τρῶας τῷ πολέμῳ κρατεῖν, παρὰ τὴν ἐμὴν ἡσυχίαν. ὥστε ἀκριβεῖ λόγῳ παρ' ἐμαυτοῦ λαμβάνω τὴν κόρην. εἴγε τὴν μὲν ἀπόδοσιν, ἡ ἀνάγκη. τὴν δὲ ἀνάγκην ἐγὼ πεποίηκα. λογίζου δὲ κἀκεῖνο. νῦν ἕκτωρ ἐπὶ ταῖς ναυσὶ στρατοπεδεύεται: καὶ μονονοὺ προσάγει τὸ πῦρ. καὶ τοῖς δεινοῖς ἡ νὺξ ἀναβολὴ μόνη. τῶν τοίνυν σκηνῶν ἐμπιπραμένων, ἀνάγκη καὶ τὴν κόρην τεθνάναι. δίδωσιν οὖν ἣν οὐχ οἷός τέ ἐστιν ἔχειν. καὶ φιλοτιμεῖται τούτοις ὧν ἐκπεσεῖται πάντως. ὥσπερ εἴ τις χειμῶνι χρησάμενος. καὶ τῶν σκευῶν ὑπὲρ τῆς σωτηρίας ἐκβαλὼν εἰς χαριστήριον ταῦτα τῷ ποσειδῶνι λογίζοιτο. ἆρ' αἰσθάνῃ τῆς τῶν λόγων ἀνωμαλίας ὀδυσσεῦ; ὡς μὲν πάντων στερηθησόμενος ἱκετεύει. ὡς δὲ βεβαίων κύριος ὤν, ὑπισχνεῖται. καὶ τῆς ἀλαζονείας οὐδ' ἐν τοῖς φόβοις πέπαυται. ναί φησιν. ἀλλ' οὐχ ὡμίληκα

τῇ κό

τῇ κόρῃ. καὶ ὑπὲρ τούτων ὀμοῦμαι. οὐδὲ γάρ ἐστι τὸ δεινόν, ὅτι μὴ δεῖ χρήζων τῆς γυναικὸς ὑβρίζων ἀπέωσα. εἰ μὲν οὐθεὶς ἔχων ἐπλησίαζεν, ἦν εἰπεῖν ἔρωτι δουλεύων, πολλὰ ἃ ἂν οὐκ ἐβούλετο ποιεῖν ἠνάγκαστο. νῦν δὲ πάθος ἐνίκησε τὴν γνώμην. ἐπεὶ δὲ ἔνδον οὔσης οὐχ ἧττον, μία ἐστὶν αἰτία τῆς ἀφαιρέσεως, ἡ περὶ ἡμᾶς ὕβρις. οὐ γὰρ αὐτῷ χαριζόμενος. ἀλλ' εἰς ἐμὲ παροινῶν ἐλάμβανεν. ὥστ' ἐπιορκῶν μὲν, τὸ τῆς ἀπολογίας ἰσχυρὸν διαφθείρει. ὀμνὺς δὲ τὰ εὔορκα, χείρω ποιεῖ τὰ ἐγκλήματα. δῶμεν τοίνυν αὐτὸν οὐκ ἐπιορκεῖν. ἀλλ' ὑποπτεύεταί γε. τούτου δὲ οὕτως ἔχοντος, καὶ τοιαύτης ἐν ἑκάστῳ δόξης ὑπαρχούσης, οὐδὲν παρὰ τὸν ὅρκον ἐξαλείφεται τοὔνειδος. ἐπεὶ νῦν ταῖς ὕβρεσιν ἀχθόμεθα. νῦν τὰς τιμὰς ἀγαπῶμεν. καὶ κινδυνεύειν αἱρούμεθα. καὶ προϊέμεθα τὰς ψυχάς. καὶ πάντα δρῶμεν εἰς ἓν ἐκεῖνο βλέποντες, ἥντινα γνώμην τοῖς πολλοῖς ὑπὲρ ἡμῶν αὐτῶν παραστήσομεν. καὶ νῦν εἰ ὀμεῖται μὲν Ἀγαμέμνων, δεδόσθω δὲ ὡς ἀληθῆ, πείσει δὲ οὐδένα, μένει τὸ τῆς αἰσχύνης. ὅλως δὲ οὐδαμόθεν ἡ πίστις οἷς ὀμνῦσι. πρῶτον μὲν

BIBLIOTECA ROMA VITTORIO EMANUELE

γὰρ ὁ καιρὸς τὴν ἐπιορκίαν ἐλέγχει. τὸ γὰρ ἐπικεῖσθαι μὲν τοὺς τρῶας. τετάχθαι δὲ μετ' ἐκείνων τὴν τύχην. πλησίον δ' εἶναι τοὺς φόβους. μικρὰν δὲ τὴν τάφρον, οὐδὲν δὲ ὄφελος τὸ τεῖχος. ἐπὶ ξυροῦ δὲ ἀκμῆς τὰ πράγματα ἑστάναι. μίαν δὲ σωτηρίας ὁδὸν ὑποφαίνεσθαι μόνην εἰ διαλλαγείην, οὐκ ἐᾷ προσέχειν οἷς ὀμεῖται. ἐν μὲν γὰρ ἀσφαλείᾳ καὶ τῶν πραγμάτων εὖ κειμένων κἂν φυλάξαιτό τις ἐπιορκεῖν, οὐκ οὔσης ἀνάγκης εἰς τὸ γενέσθαι πονηρόν. ὅτῳ δὲ τὰ μὲν ἄλλα ἀπέγνωσται, εἷς δὲ ὑπολείπεται πόρος ὃν οὐκ ἔστι μὴ ψευσάμενον ἔχειν, ὁ δὴ τοιοῦτος τολμᾷ κίνδυνον ἀνταλλαττόμενος κινδύνου. τὸν μὲν ἐν ὀφθαλμοῖς, ἀφύλακτον εἰδώς. ὑπὲρ δ' ἐκείνου πολλάκις αὐτὸν ἀπατῶν, ὡς καὶ θυσίαι. καὶ θεραπεῖαι. καὶ εὐχαί. καὶ ἱερεῖα. καὶ κάλλος ἀναθημάτων. συγγνώμονας ἂν κατασκευάσαι τοὺς θεούς. ἔπειτα τὸν μὲν τὴν δίκην μέλλειν ἡγεῖται. τὸν δὲ τὸ δεινὸν εὐθὺς ἐφεστάναι. ἐλάττω δὲ τῆς ἐπικειμένης τὴν οὔπω παροῦσαν κρίνει κατ' αὐτὸν τὸν χρόνον. τὸ γοῦν μὴ νῦν ἀλλ' εἰς ὕστερον παθεῖν, ἐν τῷ μέλλειν ἔχει τὸ κέρδος. ἄλλως τε

ὅταν

ὅταν ἄνθρωπος ἢ πάλαι πεπαιδευμένος τῶν θεῶν ὀλιγωρεῖν οἷος ὁ χρυσοῦ τοῦ πολέμου προστάτης, καὶ παρὰ τῶν κρειττόνων αὐτῶν, τροίαν ἑλεῖν. δοκίμαζε γοῦν ὀδυσσεῦ τίς ποτε πρὸς τὸ δαιμόνιον ὁ μνημονεύων ὅρκων. κἂν μὲν εὑρίσκῃς εὐλαβεία παρὰ πάντα τὸν βίον εἰς τὸ θεῖον κεχρημένον. καὶ σὺν ὅρκῳ πιστὸν ἡγοῦ. καὶ πρὸ τῶν ὅρκων πολλάκις. ἂν δὲ ἀσελγῆ καὶ θρασὺν οὐχ ἧττον εἰς ἐκείνους ἢ εἰς ἡμᾶς. καὶ μήτε λόγῳ μήτ᾽ ἔργῳ ὀκνοῦντα δυσσεβεῖν. κἂν σφάττῃ κάπρον. κἂν αἱμάττῃ τὸ ξίφος. κἂν διὰ τῶν τομίων πορεύηται, παντὸς ἡγοῦ τὰ φρικώδη λῆρον τῇ τοιαύτῃ κεχρῆσθαι ψυχῇ. τοῦ ποίας οὖν μερίδος ἀγαμέμνων σοὶ φαίνεται. πότερον τῆς οὐδὲν ἀνωτέρω τῶν θεῶν ἀγούσης, ἢ τῆς ἐν γέλωτι πεποιημένης τἀκείνων. σὺ μὲν οὐκ ἂν εἴποις ἀφρονεῖς. ἐγὼ δὲ οὐκ ἀποκρύψομαι. οὐχ οὗτός ἐστιν πρῶτον μὲν ἐν αὐλίδι τῆς ἀρτέμιδος ἀμαθίαν εἰς τοξικὴν καταγνοὺς καὶ φήσας οὐδὲν εἶναι πρὸς αὐτὸν ἐκείνην ἐν ἀφέσει βελῶν; ἐξ οὗ δὴ καὶ τὸν στόλον ἐπέσχεν ἡ θεὸς χαλεπήνασα; καίτοι τί τῆς μανίας τὸ κέρδος. ἔτυχε τοῦ θηρίου; τί οὖν ὑπέρλαμπρον,

ρῦ γὰρ ἀλεξάνδρου τετύχηκάς γε. ἀλλὰ καὶ τοῦτο γενναῖον; οὐκοῦν ἀρκεῖ βεβληκέναι. ἀλλὰ καὶ σεμνύνεσθαι τῷ βλήματι δεῖ; τεύκρου σαυτὸν αὐτίθης. ἀλλ' οὐχ ἱκανὸν τοῖς ζῶσιν; ἴδια τῷ παλαιῷ. σὺ δὲ ἀφεὶς τὴν γῆν τοῖς θεοῖς πολεμεῖς; πάλιν γε τοίνυν ἥκοντος ἔναγχος ὑπὲρ τῆς θυγατρὸς τοῦ χρύσου. τοῦ πρὸς ἀπόλλωνος ἱκετεύοντος, ὁ καλὸς κἀγαθὸς οὑτοσὶ καὶ τοὺς θεοὺς δεδιὼς, ὀλίγου τὴν πρεσβύτην αὐτῷ σκήπτρῳ καὶ στεφάνοις ἐμβαλὼν εἰς τὴν θάλατταν ἀπέπνιξεν, ἀσθενεῖ φήσας αὐτὸν συμμάχῳ πεπιστευκέναι τῷ θεῷ. καίτοι τὴν τῶν γιγάντων ἀπόνοιαν, τί χρὴ δοκεῖν ἕτερον, ἢ ταῦτα εἶναι; ἃ δὲ κάλχας ἤκουεν ἐπειδὴ τἀληθὲς οὐκ ἔκρυψεν, οὐκ εἰς αὐτοὺς ἂν ἦ τοὺς θεοὺς παρ' ὧν εἶχεν ἐκεῖνος τὴν τοῦ πάντ' ἐπίστασθαι τέχνην; τοσοῦτόν ἐστι κακὸν ἄνθρωπος, ὀνόματι μὲν ἕλλην, φύσει δὲ βάρβαρος. ἡμεῖς οὖν ἐκεῖνα εἰδότες, ταῦτα πιστεύσομεν, ὥσπερ ἀγνοοῦντες ὅτι πᾶς ὅρκος ἐκ τοῦ πρὸς τοὺς θεοὺς φόβου τὴν ἰσχὺν λαμβάνει, τῇ δ' εἰς ἐκείνους ὀλιγωρίᾳ πίστις οὐχ ἕπεται; ἀγαμέμνων τοίνυν εἰ μὲν ἐδεδοίκει τοὺς θεοὺς, οὐ

δ' ἂν ἐκεῖνα ὕβριζε· καταφρονῶν δὲ ὅλως, οὐδ' ἂν τοὺς ὅρκους δείσειεν. ὥσπερ γὰρ ὁ πολμῶν τὸν ἐντυγχάνοντα παίειν, κἂν εἴποι τὸν αὐτὸν κακῶς οὐδὲν ὑποστειλάμενος, τῆς αὐτῆς γὰρ θρασύτητος ἄμφω. οὕτως ὁ φαυλίζων τοὺς θεοὺς, κἂν ὀμόσαι ῥαδίως, τὰ ψευδῆ μέλλων ὀμεῖσθαι. τῆς γὰρ αὐτῆς ὕβρεως ἀμφότερα. εἰ μὲν οὖν ἐτίμα τὸν ἀπόλλω καὶ τὴν ἀδελφὴν τοῖς τε ἐν αὐλίδι καὶ πρώην ἐνθάδε μὴ διαβάλλωμεν τὸν ὅρκον. εἰ δ' ἑκατέρου τοῦ τολμήματος κοινὴ τὴν δίκην ἐτίσαμεν, τότε μὲν ὑπὸ τῶν πνευμάτων, εἰργόμενοι. νῦν δὲ τῷ λοιμῷ φθειρόμενοι, πῶς ὧν ὑπερεῖδεν ἀεὶ, τούτους ὀμνὺς, οὐ δόξει φαυλίζειν. ἔτι τοίνυν, εἰ μὲν ἡ μίξις ἐποίει τὴν ὕβριν, εἶχεν ἂν λόγον ὑπὲρ τῆς μίξεως τῶν ὅρκων γιγνομένων, μηδὲν ὑβριστικὸν πεπρᾶχθαι νομίζειν. ἐπεὶ δὲ ἀρχὴ τῆς ἀσελγείας ἦν τὸ τοὺς κήρυκας ἐλθεῖν ἐπὶ τὴν κόρην, καὶ πρὶν ἰδεῖν τὴν ἄνθρωπον ἀποσπῶν ἐλύπει, οὐδὲν ἧττον εἴη ἂν ὑβριστὴς καὶ μὴ συγκαθεύδων τῇ βρισέως. ὥσθ' ὁ περὶ τῆς μίξεως ὅρκος, οὐ τοῦ παντὸς ἴασις γίνεται. ἀλλ' ὑπὲρ μὲν τῶν ἐπὶ τῆς σκηνῆς ὀμεῖται. τῶν δ'

ἐν μέσῳ κακῶν, τίς ἔσται λόγος εὐπρεπής, ὅτι φήσει τοὺς λοιποὺς ἕλληνας ἄξιον ἐλεεῖν; τί λέγεις οἷς ἤρεσκε τὰ τότε πραττόμενα; πῶς γὰρ εἴπερ οὐκ ἤρεσκε πέπρακται. εἰ γὰρ ἐκεῖνοι συστραφέντες, καὶ τὰ ὅπλα περιθέμενοι, καὶ περιστάντες τὴν σκηνὴν ἀγαμέμνονος. καὶ βοῆς ἐμπλήσαντες τὸν ναύσταθμον. ἐχρήσαντο καὶ δικαίοις καὶ συμφέρουσι λόγοις, οὐκ ἂν οὕτω μεταπεπτώκει τὰ πράγματα. ἔλεγον ἄν. ὅτι ὦ βασιλεῦ τῶν μυκηνῶν. οὐ καλῶς ὑπὲρ τῶν ὅλων βουλεύῃ. πριάμῳ στρατηγεῖς διὰ τῶν ὑβρισμάτων. ἡμᾶς προδίδως. τοὺς ἐναντίους αἱρεῖς. εὐχὰς ἕκτορι πληροῖς, ἄνδρα τῆς συμμαχίας ἀπελαύνεις, καὶ ποιεῖς ἐχθρὸν τοῖς πράγμασι δι' ὃν ἀφίγμεθα: δι' ὃν ἐπέβημεν. δι' ὃν εὐπραγοῦμεν. δι' ὃν εἴσω πυλῶν οἱ τρῶες. ὃς ἀντὶ τείχους τοῖς ἀχαιοῖς γεγένηται. ὅρα μὴ νῦν μὲν χαρίσῃ ταῖς ἡδοναῖς. μικρὸν δὲ ὕστερον δακρύσῃς. ἀποδέδωκας τῷ θεῷ τὴν κόρην, ὁ γὰρ λοιμὸς ἐβιάζετο. ἔα μένειν παρ' ἀχιλλεῖ τὸ γέρας. οὐ γὰρ ἀναγκάζῃ λαβεῖν. τί ταλθύβιον τοσοῦτον ἐκπέμπεις. μέμψῃ ταύτην τὴν διακονίαν. εἰ μὲν οὖν κατεῖχε τοῖς λόγοις, εἰ δὲ οὐ προσ-

σέχε

περιεῖχε τὸν νοῦν, ἄκων ἂν ἐποίει τὰ δίκαια, τῶν ἑλλήνων ὡς ἀληθῶς τοῖς γιγνομένοις ἀχθομένων. τί γὰρ ἂν ἔδρασεν ἐναντιούμενος ὁρῶν. ἐμπεσὼν ἂν εἰς μέσους ἐτρέψατο; πάνυ γε εἰ καὶ τὸν ἀδελφὸν συναγωνιστὴν εἶχεν. ἀλλ' ὥπλισεν ἂν τοὺς μυκηναίους ἐπὶ τοῖς ἄλλοις ἅπασι; καὶ ποῦ νῦν οἱ μυκηναῖοι; μωρία ταῦτα καὶ γέλως. ἀλλ' οἶμαι γε μηδεμίαν ἐπιστροφὴν πεποιῆσθαι. μηδ' ἐνδείξασθαι τοῦθ' ὅτι οὐ χαιρόντων ὑβρίζει, παρέχον ἐπεξουσίαν τολμῆσαι. καὶ μηδεὶς εἴπῃ. βασιλεὺς γὰρ ἄνθρωπος καὶ κύριος τῶν ὅλων. πρῶτον μὲν γὰρ ἅπας βασιλεὺς ἐν τοῖς ὑπηκόοις ἰσχύει. καὶ πρὸς τὴν τούτων γνώμην τἀκείνου φέρεται. καὶ κρατεῖ. καὶ καθήρηται. καὶ δέδοικε. καὶ θαρρεῖ. καὶ τοῦτό ἐστιν ὅτι ἂν τοῖς ἀρχομένοις δοκῇ. οὐ γὰρ ἑνὶ καὶ σώματι καὶ ψυχῇ μιᾷ, κρατεῖ τοσοῦτον πλῆθος. ἀλλὰ τῇ τῶν πολλῶν βουλήσει τὸ σχῆμα λαμβάνει. καὶ τῶν αὐτῶν δήπου δοῦναί τε καὶ πάλιν ἀφελέσθαι, καὶ παρασχεῖν, καὶ μηκέτ' ἐᾶν ἔχειν, τὸ μὲν ὡς δοκεῖν, ἐκ τῆς ἐκείνου γνώμης τὰ τῶν ἀρχομένων ἤρτηται. τὸ δὲ ἀληθές, ἐν τῇ τούτων τἀκείνου κεῖται. κἂν τούτοις ἀπειθεῖν

παράστῃ, τόγε ἐπιτάξον, οὐκ ἔσται. εἰ γὰρ μυκηναῖοι σφᾶς αὐτοὺς ἑτέρῳ προσένεμον, οὐκ ἂν ἦν οὐθεὶς ἰδιώτης ἀγαμέμνων; ἢ τὸν μὲν ἀτρέα μετὰ τὴν εὐρυσθέως τελευτὴν τύραννον ἐξ ἰδιώτου κατέστησαν, εἰς δὲ τὸν ἐκείνου παῖδα τἀναντία ποιεῖν οὐ τῆς αὐτῆς ἐξουσίας. ἀλλ᾽ ἐῶ μυκηναίους γὰρ συγχωρῶ μηκέτ᾽ αὐτῶν εἶναι κυρίους. οὐ μὴν καὶ κατὰ πάντων γε τὴν αὐτὴν κέκτηται δυναστείαν. ἀλλὰ τὸ μὲν ἐκείνων ἐστὶ, πατρικὴ βασιλεία. τὸ δὲ παρὰ τοῦ κοινοῦ, τιμή τις ὑπὸ τοῦ πολέμου δοθεῖσα. ἤκομεν δὲ εἰς τροίαν, οὐ παραδώσοντες ἑτέρῳ τὴν ἑαυτοῦ βασιλείαν ἕκαστος. ἀλλ᾽ εἰσὶ μὲν βοιωτοῖς ἡγεμόνες. εἰσὶ δὲ φωκεῦσιν. εἰσὶ δὲ ἀργείοις. εἰσὶ δὲ λοκροῖς. εὐβοεῦσιν. ἀθηναίοις. σαλαμινίοις. κεφαλλῆσι. κρησί. πυλίοις. τῶν ἄλλων ἑκάστοις. εἰς τούτους οὖν ὁρῶσι καὶ παρὰ τούτων τοῖς ἑπομένοις τὰ παραγγέλματα. καὶ οὐ σκοποῦσιν αἰτωλοὶ τί δέδοκται τοῖς ἀτρέως. ἀλλ᾽ ὁ θόας αὐτοῖς τοῦ τί δεῖ ποιεῖν ὁριστής. ὅτι γὰρ τὴν στρατείαν συνήγαγεν οὐ φόβος ἀγαμέμνονος. ἀλλὰ τὸ δόξης ἐπιθυμεῖν. μέγα δέ σοι καὶ σαφὲς ἐρῶ τεκμήριον. οἱ τὴν ἡ-

συχίαν

συχίαν τῆς φιλοτιμίας προθέντες, οὐκ ἐ-
πηναγκάσθησαν πλεῖν. οἷον ἐβούλοντο μεθω
ναῖοι μετ᾽ ἀσφαλείας μᾶλλον τῶν ὄντων ἀ
πολαύειν, ἢ κοινωνεῖν ἔργων μεγάλων, καὶ μέ
νουσιν οἴκοι μεθωναῖοι. καὶ μενέλεως παρακα
λῶν, ἀπῆλθεν ἄπρακτος. ἤρεσκε γὰρ τῷ τανα
γραίων ἄρχοντι. μήτε λαμπρότητος, μή-
τε κινδύνων μετέχειν. ἐπεὶ τοὺς ταναγραίους ὥ
πλισεν ἐπ᾽ αὐτὸν τὸν καλοῦντα περιεργαζόμε
νον λαβών. ἐπεὶ εἰ μὴ σὺ παρὼν ἔτυχες, ἔκειτο
ἂν ὁ τοῦ δεσπότου ἑλλήνων ἀδελφός. ἀλλὰ
γὰρ ἠνάγκασμαι πρὸς σὲ λέγειν, ὧν αὐτόπτης
γεγένησαι. τὸ δὲ καθ᾽ ἡμᾶς τοῦτο, τίνος σοι
φαίνεται σημεῖον; ἀπέστην τοῦ συμμαχεῖν.
καὶ μυρμιδόνες ἀργοῦσιν. ἐξάγει δὲ οὐδεὶς
ἄκοντας. ἥκετε δὲ ὑμεῖς ἱκετεύοντες. οὐκ
ἐπιτάξοντες. ὁ δὲ πείρᾳ πρὸς τοὺς ἕλληνας
χρώμενος, καὶ πολλὰ μὲν φυγῆς ἐν μέσῳ πα-
ραινῶν, πολλὰ δὲ τῶν ἡγεμόνων τῶν κατασκευ
ασμένων αὐτῷ τὴν ὁρμὴν κωλύων, καὶ φανε
ρῶς μὲν οὐ τολμῶν ἃ φρονεῖ λέγειν, τέχνῃ
δὲ χρώμενος πρὸς τὸ πλῆθος, μεγάλην τε καὶ
γενναίαν τὴν δεσποτείαν ἐμφαίνει. ὁρᾷς ὡς
οὔτ᾽ ἐκεῖνος πάντα κελεύειν κύριος. τούτοις

δὲ πάνθ' ὑπηρετεῖν οὐκ ἀνάγκη; βουληθῆναί γε ἔδει, καὶ οὐδὲν ἂν ὑβρείσμην. εἰ γὰρ ἡνίκα τὴν ἀφαίρεσιν ἠπείλει καὶ τὴν ἀπόστασιν παρὰ τῶν ἐθνῶν αὐτήκουεν, σώφρων ἂν ἐγένετο τῷ φόβῳ. νῦν δ' ἐγὼ μὲν ἠτιμαζόμην. οἱ δ' ἐσιώπων. καὶ τὸν μὲν χρύσην ἐκέλευον αἰδεῖσθαι. καλῶς γε ποιοῦντες. ὑπὲρ ἡμῶν δ' οὐδὲ τὰς αὐτὰς ἀφῆκαν φωνάς. οὐδ' εἰ μηδὲν τῶν ἄλλων τὴν τῆς ὕβρεως αἰτίαν, ᾐσχύνθησαν. ἠδ' ἦν τὸ τῶν ἑλλήνων κήδεσθαι, εἰ δ' ὥσπερ τῶν ἄλλων ἕκαστος μηδὲν ἐφρόντιζον, οὐκ ἂν ὥσπερ οὐδὲ τῶν ἄλλων οὐδεὶς ὑβριζόμην οὐδὲ προπηλακιζόμην παντάπασιν. οὐκοῦν, ὁ μὲν, ἠσέλγαινεν. οἱ δὲ ἐπέτρεπον. καὶ ὁ μὲν ἀποστέρει τὸ γέρας. οἱ δὲ οὐκ ἐκώλυον, κοινὸν ἐστὶ τὸ ἀδίκημα τοῦ τετολμηκότος καὶ τῶν οὐκ ἐπεχόντων. οὓς δ' ἀξίοις ἐλεεῖν, μᾶλλον δ' εἰς ἐκείνους τὸ πλέον ἔρχεται. ὁ γὰρ τῷ πονηρῷ δοὺς ἀδικεῖν παῦσαι παρὸν, μᾶλλον αὐτὸς εἰργάσθαι τὸ πραχθέν. ἂν προδοσίαν αἰσθόμενος, μὴ προαναστείλω, δίκην ὀφείλω τοῖς προδοθεῖσιν. ἂν ὁ φονεὺς, ἐμοῦ συγχωροῦντος δράσῃ τὸ ἔργον, οὐκ εἰμὶ καθαρὸς, ἂν ἀγαμέμνων ὑβρίζων

μὴ

μὴ λυπῇ τὸν στρατὸν, ὑπ' ἀμφοτέρων ἠδίκημαι. λόγος δὲ κοινὸς ἑλλήνων καὶ βαρβάρων ἀμύνεσθαι τὸν ὑπάρξαντα. ἐτιμώμην πρότερον. καὶ παρὼν ὠφέλουν. ὑβριζόμην ὕστερον, καὶ μεταστὰς, ἀμύνομαι. οὔτ' ἀμοιβῶν ἀποστερῶν, καὶ δίκην εὖ οἶδα λαμβάνων. λυπεῖ τὸν ἄνθρωπον τῶν ἑλλήνων ὁ φόβος; εἶτ' ἐμὲ πείθεις παῦσαι τοῦτο, δι' οὗ στένειν ἐκείνῳ πάρεστι; καὶ βουκόλων μὲν μισῶν οὐκ ἂν τὴν νόσον τῆς ἀγέλης ἀπήλλαξα. τούτῳ δ' ἐγκαλεῖν ἔχων, ἐξαιρήσομαι τῶν δεινῶν τὸν στρατόν; καὶ τίς οὐκ οἶδεν ὡς ὁμοῦ τε τούτοις ἐν καλλίονι τὰ πράγματα, κἀκεῖνος ἡδίων. ἐμοί τε ὃ μόνον εἰς τιμωρίαν ἀπόλλυται. εἰ μὲν γὰρ ἦν τοὺς μὲν ἕλληνας σώζειν. ἐκείνῳ δὲ μὴ χαρίζεσθαι, πονηροῖς μὲν ἂν καὶ οὕτως ἐβοηθοῦμεν. ἴσως δ' ἂν ὑπεμείναμεν. εἰ δὲ ἡ τούτων σωτηρία φαιδρὸν ἐκεῖνον ποιεῖ, τίς λόγος ἂν ἢ δυσμενεῖ παρασκευάζειν ἡδονήν. οὐδὲν δεινὸν ὀδυσσεῦ τὸν ἀπόλλω μιμεῖσθαι. ἐσχάτης μὲν οὖν ἀρετῆς θεὸν εἶναι ζηλωτήν. ἐκεῖνος ὑπέρ τε αὐτοῦ καὶ τοῦ πρεσβύτου παροξυνθεὶς, λοιμὸν ἐμβαλὼν εἰς τὸν στρατὸν, τῇ φθορᾷ τῶν ἀχαιῶν ἐκόλαζε τὸν

δὲ πάνθ' ὑπηρετεῖν οὐκ ἀνάγκη; βουληθῆ
ναί γε ἔδει, καὶ οὐδὲν ἂν ὑβρίσμην. εἰ γὰρ ἡνί-
κα τὴν ἀφαίρεσιν ἠπείλει καὶ τὴν ἀπόστασιν
παρὰ τῶν ἐθνῶν αὐτήκουεν, σώφρων ἂν ἐγέ
νετο ὑπὸ φόβῳ. νῦν δ' ἐγὼ μὲν ἠτιμαζόμην.
οἱ δ' ἐσιώπων. καὶ τὸν μὲν χρύσην ἐκέλευον αἰ-
δεῖσθαι. καλῶς γε ποιοῦντες. ὑπὲρ ἡμῶν
δ' οὐδὲ τὰς αὐτὰς ἀφῆκαν φωνάς. οὐδ' εἰ
μηδὲν τῶν ἄλλων τὴν τῆς ὕβρεως αἰτίαν,
ᾐσχύνθησαν. ἦδ' ἦν τὸ τῶν ἑλλήνων κήδεσθαι.
εἰ δ' ὥσπερ τῶν ἄλλων ἕκαστος μηδὲν ἐφρόν-
τιζον, οὐκ ἂν ὥσπερ οὐδὲ τῶν ἄλλων οὐδεὶς
ὑβριζόμην οὐδὲ προὐπηλακιζόμην πάντα
πᾶσιν. οὐκοῦν, ὁ μὲν, ἠσέλγαινεν. οἱ δὲ ἐπέ-
τρεπον. καὶ ὁ μὲν ἀποστερεῖ τοῦ γέρως. οἱ δὲ οὐκ
ἐκώλυον. κοινὸν ἐστὶ τὸ ἀδίκημα τοῦ τε πεπλη-
μμεληκότος καὶ τῶν οὐκ ἐπεχόντων. οὓς δ' ἀξι-
οῖς ἐλεεῖν. μᾶλλον δ' εἰς ἐκείνους τὸ πλέον
ἔρχεται. ὁ γὰρ ὑπὸ πονηροῦ δοὺς ἀδικεῖν παῦ-
σαι παρὸν, μᾶλλον αὐτὸς εἰργάσθαι τὸ πρα-
χθέν. ἂν προδοσίαν αἰσθόμενος, μὴ προανα-
στείλω, δίκην ὀφείλω τοῖς προδοθεῖσιν. ἂν
ὁ φονεὺς, ἐμοῦ συγχωροῦντος δράσῃ τὸ ἔργον,
οὐκ εἰμὶ καθαρὸς, ἂν ἀγαμέμνων ὑβρίζων

μὴ

μὴ λυπῇ τὸν στρατὸν, ὑπ᾽ ἀμφοτέρων ἠδίκημαι. λόγος δὲ κοινὸς ἑλλήνων καὶ βαρβάρων ἀμύνεσθαι τὸν ὑπάρξαντα. ἐτιμώμην πρότερον. καὶ παρὼν ὠφέλουν. ὑβριζόμην ὕστερον, καὶ μεταστὰς, ἀμύνομαι. οὔτ᾽ ἀμοιβῶν ἀποστερῶν, καὶ δίκην εὖ οἶδα λαμβάνων. λυπεῖ τὸν ἄνθρωπον τῶν ἑλλήνων ὁ φόβος; εἶτ᾽ ἐμὲ πείθεις παῦσαι τοῦτο, δι᾽ ὃ σὺ στένειν ἐκείνῳ πάρεστι; καὶ βουκόλων μὲν μισῶν οὐκ ἂν τὴν νόσον τῆς ἀγέλης ἀπήλλαξα. τούτῳ δ᾽ ἐγκαλεῖν ἔχων, ἐξαιρήσομαι τῶν δεινῶν τὸν στρατόν; καὶ τίς οὐκ οἶδεν ὡς ὁμοῦ τε τούτοις ἐν καλλίονι τὰ πράγματα, κἀκεῖνος ἡδίων. ἐμοί τε ὃ μόνον εἰς τιμωρίαν ἀπόλλυται. εἰ μὲν γὰρ ἦν τοὺς μὲν ἕλληνας σώζειν. ἐκείνῳ δὲ μὴ χαρίζεσθαι, πονηροῖς μὲν ἂν καὶ οὕτως ἐβοηθοῦμεν. ἴσως δ᾽ ἂν ὑπεμείναμεν. εἰ δὲ ἡ τούτων σωτηρία φαιδρὸν ἐκεῖνον ποιεῖ, τίς λόγος ἂν ἢ δυσμενεῖ παρασκευάζειν ἡδονήν. οὐδὲν δεινὸν ὀδυσσεῦ τὸν ἀπόλλω μιμεῖσθαι. ἐσχάτης μὲν γὰρ ἀρετῆς θεῶν εἶναι ζηλωτήν. ἐκεῖνος ὑπέρ τε αὐτοῦ καὶ τοῦ πρεσβύτου παροξυνθεὶς, λοιμὸν ἐμβαλὼν εἰς τὸν στρατὸν, τῇ φθορᾷ τῶν ἀχαιῶν ἐκόλαζε τὸν

ὑβρίζοντα. καίτοι τῶν ἑλλήνων πολλὰ καὶ φιλάνθρωπα πεποιηκότων εἰς τὸν χρύσην. ἀλλ' ὅμως ἐπειδὰν τὸ ἐκείνους ἀναλοῦσθαι συμφορὰν ἔχον εὕρισκεν ἀγαμέμνονι, κοινῇ νόσῳ μετῄει τὸν ἄρχοντα. ποτέρου δὲ χρήζουσιν ὦ πρὸς διός. εἰ μὲν τῆς σωτηρίας, ἔξεστιν αὐτοῖς μετὰ μυρμιδόνων τουτωνὶ, καταφρονεῖν ἕκτορος. εἰ δ' ὑπὲρ τῶν ἀτρειδῶν τρέμουσιν, οὔπω δέονται τῆς ἐμῆς ἐξόδου. ἀλλ' αἱρῆσαι τὸν ἕκτορα θρασυνόμενον, πρᾶγμα σεμνόν. πῶς ὦ σοφώτατε σεμνόν. εἰ γὰρ ὅτι μοι φανεῖται χείρων, πάλαι τοῦτο πέφηνεν, οὐ ταῖς ἐμαῖς. οὐδὲ σαῖς. ἀλλ' αὐταῖς ταῖς ὁμολογίαις τοῦ ἕκτορος. ὁ γὰρ τὰ μὲν πολλὰ τειχήρης. τολμηρὸν δ' ἡγούμενος παρακύψαι, μένων δ' ὑπὸ τοῖς πύργοις, ὀρρωδῶν δὲ τὴν πρὸς ἐμὲ μάχην, πλέον ἢ γυναῖκες, οὐκ ἀμφισβητήσιμόν μοι τὴν νίκην πεποίηκεν. ἔστι δὲ πολλῷ μεῖζον εἰς δόξαν τοῦ μένοντα τὸν ἀντίπαλον κτεῖναι, τὸ φεύγοντα δεῖξαι. τὸ μὲν γάρ ἐστιν ἀνδρίᾳ χρώμενον, τῇ τύχῃ βλαβῆναι. τὸ δὲ μὴ συμμῖξαι,
„ πρόφασιν οὐκ ἔχει, πλὴν δειλίας. ὁ κτείνει
„ μὲν πολλάκις τὸν ἀγαθὸν ὁ χείρων. φοβεῖ

δὲ

δὲ ὁ βελτίων μόνος, ὡς εἰ τῆς τοῦ κρείττων ὑπειλῆφθαι δόξης ἐπιθυμῶ, πάλαι τετύχηκα. καὶ μὴν οὐδὲ λαβεῖν τὸν ἄνδρα τῶν ῥᾴστων, εἰ καὶ σφόδρα δεῖ τοῦ λαβεῖν ἐπιθυμεῖν. εἰπὲ γάρ μοι τί κατήγαγεν αὐτὸν ἐπὶ τὰς ναῦς. οὐ γὰρ μὴ κοινωνεῖν με τῶν ἔργων. οὐκοῦν εἰ κοινωνοῦντα γνοίη, φεύξεται. πῶς οὖν εἰς χεῖρας ἀφίξεται. ὁ γὰρ τοῦ θαρρῆσαι τὸν καιρὸν εἰδώς, οὐκ ἀγνοήσει τὸν τῆς φυγῆς. ἀλλ' εἴσεται μὲν κινουμένας τῶν μυρμιδόνων τὰς τάξεις. ὄψεται δ' ἀπὸ τοῦ σκοπίου, προϊούσας τὰς φάλαγγας. ἐμὲ δ' ὀξέως μηνύσει τὰ ὅπλα τεθέντα. πάλιν δὲ ἐκεῖνος ἐπανήξει πρὸς τὴν δρῦν. λογίζου δὲ καὶ τοῦτο νῦν. οἱ πριαμίδαι μὲν τοὺς ἀτρείδας ἀδικοῦσιν. ἐγὼ δ' ὑπ' ἐκείνων μὲν οὐδέν. ὑπὸ δὲ τῶν ἀδελφῶν ἠδίκημαι. πῶς οὖν οὐκ ἄλογον, ὑπὲρ τοῦ τὰ ἔσχατα λελυπηκότος τὸν ἀναμάρτητον εἰς τἀμὰ διαφθεῖραι. καὶ δόξαν θηρεύοντα ῥώμης, τὴν τῆς ἀναισθησίας μὴ δεῖσαι. ἢ τὸ μὲν ἕκτορα κτεῖναι καλόν, τὸ δ' ὑπὸ χερῶς φέρειν ἀτιμίαν οὐκ αἰσχρόν. ἤσκησεν ἀγαμέμνων ἕκτορα, καὶ δεχέσθω τὸν ἄνδρα. ὃς ἐξελήλακεν ἐμὲ τῶν πραγμάτων. μὴ καλείτω

οὐν ἄτιμον. ἤδη καθέλκω τὰς ναῦς: ὁ δ' ἐσβεννύτω τὸ πῦρ. κρείττων γὰρ κρείττων σοφία ῥώμης εἰς πολέμου τέλος ὀδυσσεῦ. Ἰδομενεὺς παρ' ὑμῶν εὑρεθήτω τοῖς δεινοῖς οὐ κώλυμα. νῦν δεικνύτω Νέστωρ τὴν σύνεσιν. νῦν σὺ τὴν εὐβουλίαν.
νῦν μεθ' ὑμῶν ὁ Διομήδης
οὐ λόγου.

ΤΕΛΟΣ.

ΜΕΤΑΦΡΑΣΙΣ ΕΝ ΠΕΖΩ͂ ΛΟΓΩ͂ ΤΟΥ ΠΡΕΣΒΕΥΤΙΚΟΥ͂

ἐν ἰλιάδος. ί.

Χαῖρε ὦ ἀχιλλεῦ, οὕτω γὰρ πρέπον ἂν εἴη προσφωνεῖν σοὶ ἔχοντα ἐν χερσὶν ἔμπλεων οἴνου τὸ ποτήριον, καὶ ἐνδεικνύοντά σοι προπίνοντα τὴν φιλοτησίαν, ἐλπίσι δὲ ἀγαθῆς, μᾶλλον δὲ σαφέστατον τεκμήριον, ἐξ ὧν ἔλεξάς τε καὶ ἐποίησας ἡμᾶς πρὸς ἄνδρα φίλον, καὶ τὴν εἰς ἡμᾶς ἔτι εὔνοιαν αὐτοῦ διαφυλάττοντα, προσελθεῖν. Πρῶτον οὖν πολλὴν σοι χάριν ὁμολογεῖν ὀφείλομεν, ὅτι δαψιλῶς τε οὕτω καὶ φιλοφρόνως ἐδέξω ἡμᾶς οὐδέν, γάρ ἐνταῦθα ἐνδεές, ἀλλὰ πάρα δή γε ἅπαντα, ὧν περ ἂν ὀρέγοιτο τίς ἄν, καλά τε καὶ ἡδέα, καὶ τούτων πλῆθος μέγα, ἀλλὰ καὶ ἄμεμπτα τὰ παρ' ἀγαμέμνονι, ἐξ οὗπερ σκηνῆς ἥκομεν, οὐχ ἧττον ἐν ἀφθονίᾳ γεγενημένα. οὐ μέντοι ἐν τῷ παρόντι ἐπερά

στοῦ τῆς λαμπρᾶς ἑστιάσεως οὐδὲν ὄφελος, οὐδὲ ταύτας ἂν τοιούτοις ὑπὸ κινδύνοις ἀσμένως τις ἀπολαύειν δύναιτο. τὰ γὰρ κακὰ καὶ δεινὰ ἔτι πρὸ ὀφθαλμῶν ἔχοντες, οἷς χθὲς τῆς πρώην, ὅτε οὔ σοι ἀπονοσφίζῃ, συνήχθημεν, ἐν τῷ μεγίστῳ ἐσμὲν φόβῳ, τῆς δὴ παρὰ τοσοῦτον ἤκομεν τοῦ σώζεσθαι ἢ ἀποβαλεῖν τὰς, οὕτως ὡς οἶσθα, εὐσυμπήκτους ναῦς, ὥστε ἐν μόνῃ ταύτῃ τῇ νυκτὶ ἔχεσθαι ἀναβολῆς τινὸς τὸν ὄλεθρον, ἐπ' ἐλπίδι μένγε τῆς σῆς, ὦ Ἀχιλλεῦ ἰσχύος, ἣν ὅπλα λαβὼν ἐνδείξῃ τοῖς πολεμίοις ἐπικειμένοις ἰταμώτατα ἤδη, καὶ διὰ σφῶν αὐτῶν, καὶ ἔτι δὴ ἐπηρμένοις ἐπί τε τῇ παρούσῃ εὐτυχίᾳ, ὑπό τε τοῖς παρὰ τοῦ Διὸς σημείοις καὶ τέρασι. καὶ νῦν αὐτοί τε τρῶες, καὶ ὑπ' ἐκείνων παρακληθέντες τηλεδαποὶ ἄνθρωποι, καὶ μεγάλῃ τῇ χειρὶ πρὸς ἐπικουρίαν τῶν πολιορκηθέντων μάλα προθύμως παραγενόμενοι, ὑπὸ τῆς τόλμης τε καὶ καταφρονήσεως ἤλασαν, ὥστε τῆς ἔγγιστα τοῦ στρατοπέδου, καὶ ὑπὸ τῷ τείχει τῷ πρὸ οὐ πολλοῦ πεποιημένῳ πρὸς τὴν τῶν νεῶν ἀσφάλειαν, ἐνταῦθα γοῦν προκαθῆσθαι τῆς αὐλίζεσθαι μετ' ἀναριθμή-

τῶν πυρῶν, ἀπειλοῦντας, καὶ φάσκοντας
μεγαληγοροῦντας, μὴ πρὶν χήσεσθαι ἀλ-
κῆς, ἢ τὰς ναῦς ἑλεῖν ἀθρόως προσβαλόν-
τας. καὶ τὰ μὲν παρὰ τοῦ διὸς ἤδη δ᾽ ἔργον ὀ-
ξύνοντα πρὸς αὐτῶν πάμπολλα γίνεται,
ἐν δὲ τούτοις βρονταὶ καὶ ἀστραπαὶ δεξιαί,
αἷς μάλιστα, ὡς οἶμαι, πειθόμενος ἕκτωρ
ὑπερφυῶς τε καὶ ἐκπλήκτως μαίνεται, οὐ-
δὲν ἔτι οὔτε θεοὺς οὐδ᾽ ἀνθρώπους φοβούμε-
νος, ὧν δῆλον ὅτι ἧττον αὐτῷ μέλει ἢ οὐδε-
νός. δεινὸν δὲ καὶ καρτερὸν βλέπων, ὥσπερ ὑ-
πὸ λύσσης καὶ οἴστρου ἐλαθείς, εὔχεται γὰρ
δὴ πρὸ τοῦ εἰωθότος χρόνου ἐκλάμψαι τὴν
ἡμέραν, ὡς ἐκείνης προφανείσης οὐδέπω ἤδη
τῶν νεῶν διαφθαρησομένων, ὧν ἐκεῖνος οὐ μό-
νον τὰ πηδάλια ἀφαιρήσειν, ἀλλὰ καὶ τὰ ἀ-
κροστόλια κατακόψειν, ἐν τοῖς τρωσὶ καυ-
χώμενος διισχυρίζεται που, καὶ ὅλας ἔτι αὐ-
τὰς ἀφανίσειν ἐμπιπρὰς πυρί, τοὺς δὲ ἕλλη-
νας συνειληθέντας ὑπὸ φλογὶ καὶ ἐν αὐτῷ
γὰρ καπνῷ ὥσπερ μελίττας ταραχθέντας
διαχειρίσειν ἅπαντας. ταῦτά που ἐκεῖνος
ἀπειλῶν ἐξεργάζεσθαι διαβεβαιοῦται τοῖς
πολίταις αὐτοῦ, τὴν δὲ μὴν καρδίαν δέ-

ος ἔχει ἔσχατον μὴ διὰ θεοῦ ἐπιβοηθοῦντος ἢ ἀποτελέσει, πεπρωμένον τε εἴη ἡμᾶς τηλόθι ἀπὸ τῆς πατρίδος τῆς ἀργείας χθονὸς, ἐν τῇ τρωάδι γῇ ἀπολέσθαι καὶ παντελῶς ἀϊστωθῆναι. ἀλλὰ σὺ, ὦ ἀχιλλεῦ, εἴ τι σοι, ἔτι λοιπὸν τῆς ὑπὲρ ἡμῶν προθυμίας, ἀνάστηθι δὴ, καὶ τοὺς ἕλληνας οὕτω τραχέως τε καὶ χαλεπῶς ὑπὸ τῶν πολεμίων πιεζομένους, καίπερ ὅτε νῦν ποτε ἐκ τοσούτῳ θορύβῳ προέλθε ῥυσόμενος, ὅπως ἂν καὶ ἐς ὕστερον ποιῆσαι ἐπιθυμῶν, ἐπειδ᾽ ἂν τοῦ καιροῦ ἀμεληθέντος, ἰᾶσθαι τὸ κακὸν οὐκέτι ἐνδέχηται, μάταιον ὂν δὲ τὸν πόνον σὺν μεγίστῃ τῇ λύπῃ καὶ ὀξυτάτῃ ὀδύνῃ ὑποστήσῃ, ἕως οὖν ἔξεστι καὶ πρὶν τὸν πόλεμον τέλος λαβεῖν ἐπὶ διαφθορᾷ τοῦ ἑλληνικοῦ, πολὺ πρότερον, ὦ ἀχιλλεῦ, φράζου καὶ ἐν νῷ τίθει ἃ ποιητέον ἐπὶ τῇ τῶν ἑλλήνων σωτηρίᾳ, ὅπως αὐτοὺς ἐκ τοῦδε τοῦ ἀνηκέστου κακοῦ. ἢ θανατηφόρου ἡμέρας ἐξέλῃς, καὶ πρὸ τοῦ πανστρατιᾷ οἴχεσθαι ἀποσφαγέντας, βοηθήσεις αὐτοῖς. ὦ ἀχιλλεῦ οὐκ ἐν τῷ λέοντι νῦν τῷ θυμῷ μαλθακιζόμενε, τί ἂν φαίης εἰ ἀναμιμνήσκοιτό σε ὁ πατήρ σου πηλεὺς τῶν

ὑποθη-

ὑποθηκῶν αὐτοῦ, ἃς ποτε στελλομένου σοῦ δεῦρο μετ' ἀγαμέμνονος προπέμψας ὑπέθετο. οὕτω γὰρ πῶς ἴσμεν εἰρηκότα ἐκεῖνον. ὦ παῖ τῆς μὲν ἰσχύος καὶ ἀρετῆς πέρι ἐπίτρεψον τὰ δοκοῦντα τοῖς θεοῖς, παρέξουσι γάρ σοι ἢν ἐθέλωσιν ἥτε διὸς θυγατὴρ ἀθηνᾶ, ἥτε δέσποινα ἥρα, ἐξόχως ἄμφω κηδομένα σου, ἀλλὰ σοὶ τοῦ θυμοῦ μέμνησό μοι εἶναι κρείττων, καὶ τῆς ὀργῆς κρατεῖν, οὐδὲν γὰρ πραότητος ἄμεινον, οὐδέ τι κάλλιον τῶν φιλοφρονημάτων, ἐφ' οἷς σπουδαζόμενος τῆς τε φιλονεικίας τε καὶ αὐθαδείας ἀπεχόμενος, τῆς οὔπω ποτε ἀγαθοῦ, ἀλλὰ κακῶν πλείστων τε καὶ βαρυτάτων αἰτίας γινομένης, ὅτι μάλιστα πρὸς θυμοῦ πᾶσι τοῖς ἀργείοις ἔσῃ, οὐ τοῖς ὁμήλιξι καὶ ἀκμάζουσι μόνον, ἀλλὰ καὶ προβεβηκόσι πόῤῥω ἤδη τοῦ βίου καὶ γέρουσιν. αὗται σχεδὸν αἱ τοῦ πρεσβύτου ἐντολαί, ὧν σὺ βαθεῖαν λήθην ποιησάμενος, ὧδε κάθησαι τῷ θυμῷ εἴξας καὶ προδοὺς ἅπαν τὸ συμμαχικόν. ἀλλ' ὦ ἀχιλλεῦ ἔτι καὶ νῦν ἐλέησον τοὺς ὁμοφίλους, παύου δ' ὀργιζόμενος καὶ σβέννυθι τὸ τοῦ θυμοῦ ἄγριόν τε καὶ ἀμήχανον, τοῦτό δὲ πράξαντι καὶ συστείλαντι τὸ

πάθος, πολλὰ καὶ ἄμεμπτα δῶρα ἐπαγγέλλεται δι' ἐμοῦ ὁ ἀγαμέμνων, ὧν τὴν ὑπόσχεσιν τὴν ἐν τῇ σκηνῇ ὑπ' αὐτοῦ γεγενημένην, ὦ ἀχιλλεῦ, ἄγε δὴ προφέροντος μὲν ἐμοῦ λέγου, ἄκουε δὲ ἐξαριθμήσαντος τὸν κατάλογον. πρῶτον γὰρ ὑπισχνεῖται ἐκεῖνος ἐκ τῶν ἑαυτοῦ χρημάτων τάδε καταθήσεσθαι, τρίποδας μὲν λαμπρότητι στίλβοντας, καὶ οὐ τῶν περὶ τὰς ἀνθρακιὰς σταθῆναι. ἐπιτηδείων ἑπτά. τάλαντα δὲ χρυσοῦ δέκα. τῶν δὲ τριπόδων τῶν ἐμπυριβήτων καὶ παρὰ τῇ φλογὶ μελανθεισῶν εἴκοσι. δυοκαίδεκα δ' αὖ ἵππους τροφῇ αὐταρκεῖ τε καὶ ἀγαθῇ εὐσαρκοῦντας, γενναιότητι τε ἐν τοῖς ἀγῶσι διαπρέποντας, οἳ καὶ τρέχοντες περὶ τὰ ἆθλα ἐπέτυξαν ὡς ἐπὶ τὸ πλεῖστον. εἰ δέ τινι γένοιτο τόσον πλῆθος χρημάτων ὅσον ἀγαμέμνονι προσῆλθε ἀπὸ τῆς τῶν ἵππων συνεχοῦς νίκης, οὐκ ἂν ἔτι φαίης ἐκεῖνον πένητα εἶναι, μᾶλλον δὲ διαφέρειν τῶν ἄλλων παντοδαπῆς οὐσίας κτήσει βοσκημάτων τε καὶ χρυσίου, τοῦ παρὰ πλείστου ἀξιουμένου παρὰ τοῖς ἀνθρώποις. περὶ τούτοις δίδωσι σοι γυναῖκας ἑπτὰ εὐειδεστάτας τε ἅμα καὶ πρώ-

τας

τὰς ἐν ταῖς τῶν γυναικείων ἔργων ἐπιστήμαις. αὗται δὲ εἰσι λέσβιαι, ἐξαιρέτως παρ' ἀγαμέμνονι κεχαρισμέναι ἐκ τῆς σῆς λείας, ἣν δεῦρο παραστησάμενος τὴν λέσβον ἤγαγες. αἳ πᾶν τὸ τῶν γυναικῶν ἔθνος κάλλει τότε νικᾶν ἐλέγοντο, καὶ ταύταις προστεθήσεται ὀγδόη ἡ τοῦ βρισέως κούρη, ἣν ἀφεῖλέ σοι ἐκεῖνος, ὅτε εἰς τὴν πανόλεθρον ταύτην ἔριν προήχθητε. ὀμόσει δὲ προσέτι ὅρκον δεινὸν ὃς ἂν μέγιστος γένοιτο ἦ μὴν τῆς βρισηΐδος εὐνῆς καθαρεύειν, μηδὲ κατὰ τὸν κοινὸν πᾶσιν ἀνθρώποις νόμον συμπεπλέχθαι ἐκείνῃ. καὶ τὰ δὲ δὴ τὰ ὑπ' ἐμοὶ κατηριθμημένα αὐτίκα μάλα νῦν πάντα σοι παρακεκομισθήσεται. εἰ δ' ἄν ποτε θεοῦ διδόντος καὶ τὴν τροίαν τὴν τοῦ πριάμου μεγάλην τε καὶ εὐδαίμονα πόλιν καθελοίμεθα, ἔνθα ὁμολογεῖ δὴ ἔκ τε τῆς λείας χαλκοῦ καὶ χρυσοῦ τὰς ναῦς ἐμπλῆσαί σοι, καὶ αὐτὸς ἐκ πασῶν τῶν τρωάδων ἐξαιρήσεσθαι πρὸ τελέων τοῦ λαφύρου μερισμοῦ γυναῖκας εἴκοσι εὐθὺ μετὰ τὴν ἀργείαν ἑλένην καλλίστας οὔσας. ἐὰν δὲ ἄρα καὶ ἀπονοστήσωμεθα εἰς τοὺς τοῦ ἄργους γονίμους τε καὶ πίονας ἀγρούς, κηδίαν τε τότε συνάψοιτό σοι, καὶ οὐχ ἧττον

παράστῃ, τόγε ἐπιτάξον, οὐκ ἔσται. εἰ γὰρ μυκηναῖοι σφᾶς αὐτοὺς ἑτέρῳ προσένεμον, οὐκ ἂν ἦν οὐδεὶς ἰδιώτης ἀγαμέμνων; ἢ τὸν μὲν ἀτρέα μετὰ τὴν εὐρυσθέως τελευτὴν τύραννον ἐξ ἰδιώτου κατέστησαν, εἰς δὲ τὸν ἐκείνου παῖδα τἀναντία ποιεῖν οὐ τῆς αὐτῆς ἐξουσίας. ἀλλ᾽ ἐῶ μυκηναίους τε συγχωρῶ μηκέτ᾽ αὐτῶν εἶναι κυρίους. οὐ μὴν καὶ κατὰ πάντωνγε τὴν αὐτὴν κέκτηται δυναστείαν. ἀλλὰ τὸ μὲν ἐκείνων ἐστὶ, πατρικὴ βασιλεία. τὸ δὲ παρὰ τοῦ κοινοῦ, τιμή τις ὑπὸ τοῦ πολέμου δοθεῖσα. ἥκομεν δὲ εἰς τροίαν, οὐ παραδώσοντες ἑτέρῳ τὴν ἑαυτοῦ βασιλείαν ἕκαστος. ἀλλ᾽ εἰσὶ μὲν βοιωτοῖς ἡγεμόνες. εἰσὶ δὲ φωκεῦσιν. εἰσὶ δὲ ἀργείοις. εἰσὶ δὲ λοκροῖς. εὐβοεῦσιν. ἀθηναίοις. σαλαμινίοις. κεφαλλῆσι. κρησί. πυλίοις. τῶν ἄλλων ἑκάστοις. εἰς τούτους οὖν ὁρῶσι καὶ παρὰ τούτων τοῖς ἑπομένοις τὰ παραγγέλματα. καὶ οὐ σκοποῦσιν αἰτωλοὶ τί λέγεται τοῖς ἀτρέως. ἀλλ᾽ ὁ θόας αὐτοῖς τοῦ τί δεῖ ποιεῖν ὁριστής. ἐμὲ δὲ τε τὴν στρατείαν συνήγαγεν οὐ φόβος ἀγαμέμνονος. ἀλλὰ τὸ δόξης ἐπιθυμεῖν. μέγα δέ σοι καὶ σαφὲς ἐρῶ τεκμήριον. οἱ τὴν ἡσυχίαν

συχίαν τῆς φιλοτιμίας προθέντων, οὐκ ἐπηναγκάσθησαν πλεῖν. οἷον ἐβούλοντο μεθωναῖοι μετ' ἀσφαλείας μᾶλλον τῶν ὄντων ἀπολαύειν, ἢ κοινωνεῖν ἔργων μεγάλων, καὶ μένουσιν οἴκοι μεθωναῖοι. καὶ μενέλεως παρακαλῶν, ἀπῆλθεν ἄπρακτος. ἤρεσκε γὰρ ταναγραίων ἄρχοντι. μήτε λαμπρότητος, μήτε κινδύνων μετέχειν. καὶ τοὺς ταναγραίους ὤπλισεν ἐπ' αὐτὸν τὸν καλοῦντα περιεργαζόμενον λαβών. καὶ εἰ μὴ σὺ παρὼν ἔτυχες, ἔκειτο ἂν ὁ τοῦ δεσπότου ἑλλήνων ἀδελφός. ἀλλὰ γὰρ ἠνάγκασμαι πρὸς σὲ λέγειν, ὧν αὐτόπτης γεγένησαι. τὸ δὲ καθ' ἡμᾶς τοῦτο, τίνος σοι φαίνεται σημεῖον; ἀπέστην τοῦ συμμαχεῖν. καὶ μυρμιδόνων ἄρχουσιν. ἐξάγει δὲ οὐδεὶς ἄκοντας. ἥκετε δὲ ὑμεῖς ἱκετεύοντες. οὐκ ἐπιτάξοντες. ὁ δὲ πεῖρα πρὸς τοὺς ἕλληνας χρώμενος, καὶ περὶ μὲν φυγῆς ἐν μέσῳ παραινῶν, διὰ δὲ τῶν ἡγεμόνων τῶν κατασκευασμένων αὐτῷ τὴν ὁρμὴν κωλύων, καὶ φανερῶς μὲν οὐ τολμῶν ἃ φρονεῖ λέγειν, τέχνῃ δὲ χρώμενος πρὸς τὸ πλῆθος, μεγάλην τε καὶ γενναίαν τὴν δεσποτείαν ἐμφαίνει. ὁρᾷς ὡς οὔτ' ἐκεῖνος πάντα κελεύειν κύριος. γοῦν τοῖς

δὲ πάνθ' ὑπηρετεῖν οὐκ ἀνάγκη; βουληθῇ
καί γε ἔδει, καὶ οὐδὲν ἂν ὑβρίσμην. εἰ γὰρ ἡνί-
κα τὴν ἀφαίρεσιν ἠπείλει καὶ τὴν ἀπόστασιν
παρὰ τῶν ἐθνῶν αὐτήκουεν, σώφρων ἂν ἐγέ
νετο ὑπὸ φόβῳ. νῦν δ' ἐγὼ μὲν ἠτιμαζόμην.
οἱ δ' ἐσιώπων. καὶ τὸν μὲν χρύσην ἐκέλευον αἰ-
δεῖσθαι. καλῶς γε ποιοῦντες. ὑπὲρ ἡμῶν
δ' οὐδὲ τὰς αὐτὰς ἀφῆκαν φωνάς. οὐδ' εἰ
μηδὲν τῶν ἄλλων τὴν τῆς ὕβρεως αἰτίαν,
ᾐσχύνθησαν. ἠδ' ἦν τὸ τῶν ἑλλήνων κήδεσθαι.
εἰ δ' ὥσπερ τῶν ἄλλων ἕκαστος μηδὲν ἐφρόν-
τιζον, οὐκ ἂν ὥσπερ οὐδὲ τῶν ἄλλων οὐδεὶς
